αὐτὴν φυλάξαι, τοῦτο εἴρηκεν ὁ προφήτης Sever.*creat.*1.7(M.56.437); 'ἁγιάσατε ν.' τουτέστιν, ὡς ἐν ἀναθήματος ποιεῖσθε τάξει, καὶ ὡς ἐν θυσίας τρόπῳ τὴν...ν. ... εἰ γὰρ μέλλοιμεν ἐν καιρῷ ν. τῶν ἰδίων ἀποπαύεσθαι θελημάτων...οὔπω νενηστεύκαμεν ἁγίως Cyr.*Joel.*11(3.209E); **5.** fasting in rel. to various groups: ἀγαπήσωμεν [sc. virgins] σφόδρα τὴν ν.· μέγα γὰρ φυλακτήριόν ἐστιν ἡ ν. ... Χριστὸς...χρῄζει παρὰ σοῦ...σῶμα ἀμόλυντον ὑπωπιαζόμενον ὑπὸ νηστείας Ath.*virg.*6 (pp.39.27–40.11; M.28.257B,C); οἱ παῖδες, ὥσπερ τῶν φυτῶν τὰ εὐθαλῆ, τῷ τῆς ν. ὕδατι καταρδευέσθωσαν. τοῖς πρεσβυτέροις κοῦφον ποιεῖ τὸν πόνον ἡ ἐκ παλαιοῦ πρὸς αὐτὴν οἰκείωσις...τοῖς ὁδοιπόροις εὐσταλὴς ἐστι συνέμπορος ἡ ν. ... κούφους αὐτοὺς καὶ εὐζώνους ἡ ν. παρασκευάζει Bas.*hom.*2.2(2.11E; M.31.188B); ὁ τῶν χηρῶν τάγμα...παρῄνει [sc. Chrys.] ἢ ν. ἀναλαβεῖν ἀπεχομένας βαλανείων...ἢ θᾶττον χωρεῖν ἐπὶ δεύτερον γάμον Pall.*v.Chrys.*5(p.32.20; M.47.20); **6.** necessity and motives εἰ μετὰ νηφούσης διανοίας τὸν ἑαυτῶν βίον οἰκονομῶμεν... καὶ τῇ τροφῇ οὕτω προσίωμεν, ὡς τὴν χρείαν μόνον πληροῦν...οὐδὲ χρεία ἡμῖν ἦν τῆς βοηθείας τῆς ἀπὸ τῆς ν. ἀλλ' ἐπειδὴ ῥᾴθυμός ἐστιν ἡ φύσις ἡ ἀνθρωπίνη, καὶ...τῇ τρυφῇ μᾶλλον ἑαυτὴν ἐπιδίδωσι, διὰ τοῦτο ...τὴν ἀπὸ τῆς ν. ἡμῖν ἰατρείαν ἐπενόησεν ὁ...δεσπότης Chrys.*hom.10.1 in Gen.*(4.72D,E); id.*poenit.*5(2.310D); τὴν ν. ἡδέως καταδεχόμεθα, κελευσάντων ἡμῖν τῶν τὸν βίον προοδευκότων...πλεῖον γὰρ τῆς ν. ἡ καθ' ὑπακοὴν μετάληψις μαστίζει τοὺς δαίμονας Nil.*epp.*1.307(M.79.193B,C); ἡ ν. ἔχει μὲν καθ' ἑαυτὴν καύχημα, ἀλλ' οὐ πρὸς θεόν...οὐ δεῖ οὖν ἐπ' αὐτῇ μεγάλα φρονεῖν τοὺς τῆς εὐσεβείας ἀγωνιστάς Diad.*perf.*47(p.52.18); ref. Mt.6:17f. πολλοί εἰσιν οἱ νηστεύοντες...καὶ θέλουσιν προσκυνεῖσθαι ὑπὸ πάντων ὡς εὐλαβεῖς· καὶ ταύτην ν. οὐ φιλεῖ ὁ θεός...ἡ γὰρ κατὰ ἀνθρωπαρέσκειαν γινομένη ν. μισθὸν οὐκ ἔχει Eus.Al.*serm.*1 (M.86.321B,C); **7.** effects; **a.** physical and material οὐ πρὸς τὰ μέλλοντα μόνον ὠφέλιμος ἡ ν., ἀλλὰ καὶ αὐτῇ τῇ σαρκὶ λυσιτελεστέρα Bas.*hom.*1.9(2.7C; M.31.177A); *ib.*(9A; M.181A); ἐρώτησον τοὺς ἰατρούς, καὶ ἀναγγελοῦσί σοι, ὅτι σφαλερώτατόν ἐστι πάντων ἡ ἐπ' ἄκρον εὐεξία. διόπερ διὰ νηστείας ὑφαιροῦσι τὸ πλεονάζον οἱ ἐμπειρότατοι, ὡς μὴ τῷ βάρει τῆς πολυσαρκίας ὑποκλασθῆναι τὴν δύναμιν *ib.*2.7(14E; M.193D); τὴν τῶν βρωμάτων ἀπόλαυσιν ν. φαιδρύνει...ὥστε εἰ βούλει σεαυτῷ ἐπιθυμητὴν κατασκευάσαι τὴν τράπεζαν, δέξαι τὴν ἐκ τῆς ν. μεταβολήν *ib.*1.8(7A; M.176C); ἡ ν. χαρίζεται, τὴν ἐκ τῆς γαστριμαργίας πύρωσιν τῶν σωμάτων ἀποδιώκουσα Ast.Am.*hom.*14(M.40.372B); Nil.*epp.*1.168(M.79.149B); id.*inst.*(M.79.1236A); δύο εὐεργεσίας κέκτηται ἡ ν., ἵνα δι' αὐτῆς ταπείνωσιν κτήσωνται σώματος· τοῖς δὲ γεγαμηκόσιν ν. ἐπετέθη ἵνα μετάδοσιν ποιήσωνται τοῖς πτωχοῖς ἄρτου καὶ οἴνου Eus.Al.*serm.*1(M.86.316D); **b.** spiritual ἁμαρτίαν, ὑποικουροῦσαν τῷ βάθει, ἐναποκτείνει τῇ ψυχῇ εἰσελθοῦσα ν. Bas.*hom.*1.1(2B; M.164B–165A); *ib.*1.2(2E; M.165C); ν. θεῷ προσάγει *ib.*1.5(4E; M.169D); οὐκ ἐπιθυμίαν λήψῃ τῆς ἐν τῇ βασιλείᾳ τραπέζης, ἣν πάντως ἡ ἐνθάδε ν. προευτρεπίσει; *ib.*1.9(8C; M.180B); strengthens spiritual athlete, *ib.*2.1(11B; M.185B); defeats passions, *ib.*2.3(12D; M.189B); *ib.*1.9(8B; M.180A); ν. γὰρ τῆς ψυχῆς ἐστι τροφή, καὶ καθάπερ αὕτη ἡ σωματικὴ τροφὴ πιαίνει τὸ σῶμα, οὕτω καὶ ἡ ν. τὴν ψυχὴν εὐτονωτέραν ἐργάζεται, κοῦφον αὐτῇ τὸ πτερὸν κατασκευάζει, μετάρσιον αὐτὴν ποιεῖ, τὰ ἄνω φαντάζεσθαι προξενεῖ, ἀνωτέραν αὐτὴν τῶν ἡδονῶν...τοῦ παρόντος βίου ἀπεργαζομένη...ἡ μὲν ν. κουφότερον ἐργαζομένη τὸν λογισμόν, παρασκευάζει μετ' εὐκολίας τὸ πέλαγος τοῦ παρόντος βίου διαπερᾶν Chrys.*hom.1.4 in Gen.*(4.5D,E); *ib.*10.2(73C); ἡ δὲ ν. δουλεύοντας ἡμᾶς, καὶ δεδεμένους εὑροῦσα, ἀνίησι τῶν δεσμῶν, ἀπαλλάττει τῆς τυραννίδος, καὶ πρὸς τὴν ἐλευθερίαν ἐπανάγει τὴν προτέραν id.*poenit.*5.1(2.309E); id.*Anna* 1.1(4.700A); purifies souls, id.*hom.31.2 in Ac.*(9.242E); pacifies, Eus.Al.*serm.*1(316D); ν., τὴν μὲν ἐπιθυμίαν μαραίνει Max.*carit.*1.79(M.90.977C); makes men to be like angels, Ath.*virg.*7(p.41.21; M.28.260C); Chrys.*poenit.*5.1(2.310B); πολλοὶ διὰ νηστείας ὑπερέβησαν τὰ οὐράνια, καὶ μετὰ ἀγγέλων ἔσχον τὴν ἅμιλλαν Eus.Al.*serm.*1 (317A); **c.** social ν. οἴκων αὔξησις, ὑγείας μήτηρ, νεότητος παιδαγωγός, κόσμος πρεσβύταις, ἀγαθὴ συνέμπορος ὁδοιπόροις, ἀσφαλὴς ὁμόσκηνος τοῖς συνοίκοις. οὐχ ὑποπτεύει γάμων ἐπιβουλὴν ὁ ἀνήρ, νηστείαις ὁρῶν τὴν γυναῖκα συζῶσαν. οὐ τήκεται ζηλοτυπίαις γυνή, τὸν ἄνδρα βλέπουσα ν. καταδεχόμενον. τίς τὸν ἑαυτοῦ οἶκον ἠλάττωσεν ἐν ν.;...οὐδὲν διὰ τὴν ν. λείψει τῶν ἐν τῷ οἴκῳ Bas.*hom.*1.7(2.6B; M.31.173C–176A); ν. φυλάσσει νήπια, σωφρονίζει τὸν νέον, σεμνὸν ποιεῖ τὸν πρεσβύτην ...γυναιξὶ κόσμος ἁρμοδιώτατος...συζυγίας φυλακτήριον, παρθενίας τροφός *ib.*2.5(13C; M.192B); **d.** on demons; in exorcism, Or.*comm. in Mt.*13.7(p.198.25; M.13.1112B); πρὸς τὴν τῶν δαιμόνων φυγὴν...ἡ ν. ... βοήθημα *Hom.Clem.*9.10; πᾶς οὖν ὑπὸ πνεύματος ἀκαθάρτου ὀχλούμενος, ἐὰν...χρήσηται τῷ φαρμάκῳ τούτῳ, λέγω δὴ τῇ ν., εὐθὺς τὸ πνεῦμα τὸ πονηρὸν στενοχωρούμενον ἀναχωρεῖ, φοβούμενον τὴν ν. Ath.*virg.*7(p.41.14; M.28.260B); Bas.*hom.*2.2(2.11B; M.31.185C); Chrys.*poenit.*5.1(2.309D); exeg. Mt.17:21 ὁρᾷς πῶς αὐτοῖς ἤδη τὸν περὶ τῆς ν. προκαταβάλλεται λόγον; μὴ γάρ μοι ἀπὸ τῶν σπανιζόντων λέγε, ὅτι τινὲς καὶ χωρὶς ν. ἐξέβαλον. εἰ γὰρ περὶ τῶν ἐπιτιμώντων τοῦτο ἂν εἴποι τις ἑνός που καὶ δευτέρου, ἀλλὰ πάσχοντα ἀμήχανόν ποτε τρυφῶντα ἀπαλλαγῆναι τῆς μανίας ταύτης...καὶ μὴν εἰ πίστεως χρεία...τί δεῖ νηστείας; ὅτι μετὰ τῆς πίστεως κἀκεῖνο οὐ μικρὰν εἰσάγει τὴν ἰσχύν id.*hom.57.4 in Mt.*(7.581A); **e.** summaries ὁρᾷς τί ποιεῖ ἡ ν.; καὶ νόσους θεραπεύει καὶ ῥεύματα σωματικὰ ξηραίνει καὶ δαίμονας ἐκβάλλει καὶ λογισμοὺς πονηροὺς ἀποδιώκει καὶ τὸν νοῦν λαμπρότερον ποιεῖ καὶ καρδίαν καθαρὰν καὶ σῶμα ἡγιασμένον καὶ τῷ θρόνῳ τοῦ θεοῦ παρίστησι τὸν ἄνθρωπον...ἔχεις μαρτυρίαν ἐν τοῖς εὐαγγελίοις...[Mt.9:29] Ath.*virg.*7(p.41.3; M.28.260A); δέομαι πάντων ὑμῶν...εἰς τὸ συνειδὸς ἕκαστος αὐτοῦ ἀναλογιζέσθω τὴν ἀπὸ τῆς ν. πραγματείαν, κἂν μὲν εὕρῃ κέρδος πολὺ γεγενημένον, προστιθέτω τῇ πραγματείᾳ· ἂν δὲ μηδὲν ᾖ συνειλεγμένον, τῷ λειπομένῳ τοῦ χρόνου κεχρήσθω πρὸς τὴν ἐμπορίαν Chrys.*poenit.*6(2.317C); μνήσθητι ποταπὸς ὑπῆρχες πρὸ τῆς ν. τί θλίβῃ ὅταν νηστεύεις; ὅτι ἡ κεφαλή σου οὐ βαρεῖται, καὶ οἱ ὀφθαλμοί σου οὐκ εἰσὶν τεθολωμένοι καὶ αἱματώδεις...ὅτι οὐ περικρούεις εἰς τοὺς τοίχους...διὰ τοῦτο λυπήσῃ; μέγα κτῆμα ἡ ν. Eus.Al.*serm.*1(M.86.317A); **f.** scriptural illustrations, ref. Three Children οὐδὲ γὰρ τῶν τριχῶν τὸ πῦρ κατετόλμησε, διὰ τὸ ὑπὸ νηστείας αὐτὰς ἐκτραφῆναι Bas.*hom.*1.6(6A; M.173B); ref. Dan.10:2ff. Δανιὴλ...ὁ τρεῖς ἑβδομάδας ἄρτον μὴ φαγών...καὶ τοὺς λέοντας νηστεύειν ἐδίδαξε...οὕτως οἱονεὶ βαφῇ σιδήρου τὸ σῶμα τοῦ ἀνδρὸς ἡ ν. στομώσασα, ἀδάμαστον ἐποίει τοῖς λέουσιν...ν. ἔσβεσε δύναμιν πυρός· ἔφραξε στόματα λεόντων *ib.*1.7(6A; M.173C); *ib.*1.9(8D; M.180C); **8.** coupled with other good works; **a.** prayer, Polyc.*ep.*7.2; *T.Jos.*4.8; Iren.*haer.*2.31.2(M.7.825A); Clem.*q.d.s.*42(p.190.15; M.9.649C); ν. προσευχὴν εἰς οὐρανὸν ἀναπέμπει, οἱονεὶ πτερὸν αὐτῇ γινομένη πρὸς τὴν ἄνω πορείαν Bas.*hom.*1.7(2.6B; M.31.173C); *ib.*2.4(12E; M.189C); τῇ ν. τὴν προσευχὴν ἀεὶ συνεζεῦχθαι δεῖ...εἶδες πῶς δεῖται τῆς ἐντεῦθεν συμμαχίας ἡ ν.; τότε γὰρ μάλιστα καὶ μετὰ νήψεως αἱ προσευχαὶ γίνονται, κουφοτέρας τῆς διανοίας τυγχανούσης Chrys.*hom.30.5 in Gen.*(4.300E–301A); id.*poenit.*5.1(2.309E); ὁ εὐχόμενος μετὰ νηστείας διπλᾶς ἔχει τὰς πτέρυγας id.*hom.57.4 in Mt.*(7.581C); Pall.*v.Chrys.*3(p.16.22; M.47.12); ἡμέρας μὲν σύμβολον ἡ ν. διὰ τὸ ἔκδηλον· νυκτὸς δὲ διὰ τὸ ἄδηλον, ἡ εὐχή ‡Max.*cap.al.*84(M.90.1420A); **b.** μετάνοια, Bas.*hom.*1.3(3B; M.168A); *ib.*2.7(15D; M.196C); **c.** prayer and almsgiving, *2Clem.*16.4; Ath.*virg.*6(p.40.1; M.28.257B); τῇ ν. τὴν ἐλεημοσύνην συζεύξωμεν, ἵνα οἷα πτεροῖς γῆθεν ἡμῶν ἡ ψυχὴ πρὸς τὰ οὐράνια αἴρηται Nect.*Thdr.*22(M.39.1837C); κἂν νηστεύσῃς χωρὶς ἐλεημοσύνης, οὐδὲ ν. τὸ πρᾶγμα λογίζεται Chrys.*hom.57.6 in Mt.*(7.749E); ‡Chrys.*eleem.*1(1.818B); νηστεύων δὲ ὀφείλει μεταδοῦναι τῷ μὴ ἔχοντι· ὁ γὰρ νηστεύων καὶ μὴ μεταδιδοὺς πεινῶντι τὸν ἄρτον αὐτοῦ, ματαιοῖ τὴν ν. αὐτοῦ. ἄκαρπός ἐστιν, ἀμετάδοτος ἡ ν. Eus.Al.*serm.*1(M.86.316A,B); cf. τὴν ν. τῆς τροφῆς προαιρούμεθα...ἀλλ' ἴσμεν ὅτι τῆς ἀγάπης τὸ χρῆμα τῆς ν. ἐστὶ τιμιώτερον Thdt.*h.rel.*3(3.1145); **d.** humility, *1Clem.*53.2; *ib.*55.6; **e.** patience and prayer, *T.Jos.*10.1; **f.** watching, Max.*carit.*2.70(M.90.1005D); ‡Max.*cap.al.*60(M.90.1413C).

B. Christ's fast ἐνήστευσεν οὐκ αὐτὸς...ν. χρείαν ἔχων...ὁ τῇ φύσει καθαρὸς...ἀλλ' ἵνα καὶ Ἰωάννῃ ἀλήθειαν μαρτυρήσῃ καὶ ἡμῖν ὑπογραμμὸν παράσχηται *Const.App.*7.22.5; ὁ γὰρ κύριος...αὐτὸς τεσσαράκοντα ἡμερῶν ν. ἐπιδειξάμενος, οὕτω τῆς πρὸς τὸν διάβολον ἥψατο πάλης, πᾶσιν ἡμῖν ὑπογραμμὸν διδούς, ὥστε διὰ ταύτης καθοπλίζεσθαι Chrys.*hom.1.3 in Gen.*(4.5A); οὐδὲ γὰρ νηστεύοντι, ἀλλὰ πεινῶντι προσέρχεται [sc. διάβολος]· ἵνα σὺ μάθῃς, ἡλίκον ἡ ν. καλόν, καὶ πῶς ὅπλον ἐστὶ κατὰ τοῦ διαβόλου...καὶ ὅτι μετὰ τὸ λουτρὸν οὐ τρυφῇ... ἀλλὰ ν. προσέχειν δεῖ. διὰ γὰρ τοῦτο καὶ αὐτὸς ἐνήστευσεν, οὐκ αὐτὸς ταύτης δεόμενος, ἀλλ' ἡμᾶς παιδεύων...οὕτω...αὐτὸς μετὰ τὸ λουτρὸν ν. εἰσήγαγε id.*hom.13.1 in Mt.*(7.168D–169A).

C. Lenten fast; **1.** in gen.; **a.** reasons for observance προσελαύνουσι νηστεῖαι, κοῦφα μὲν τῆς ψυχῆς ἐργαζόμεναι τὰ πτερά, κοῦφον δὲ τῆς σαρκὸς κατασκευάζουσαι τὸ φορτίον...ἀλλ' ὁ μὲν τῆς ν. ἀναμενέτω λόγος, ὁ δὲ τῶν μυστηρίων ἤδη κινείσθω, δι' ἃ καὶ αἱ ν. ... τῆς ν. τέλος ἡ καθαρὰ κοινωνία· ὡς ἐὰν μὴ τοῦτο κατορθώσωμεν διὰ τῶν ἡμερῶν τούτων, εἰκῇ...κατακόψαντες ἑαυτούς, ἀστεφάνωτοι...ἀπὸ τοῦ σκάμματος τῆς ν. ἀναχωρήσομεν. διὰ τοῦτο καὶ οἱ πατέρες ἐξέτειναν τῆς ν. τὸ στάδιον, προθεσμίαν μετανοίας διδόντες ἡμῖν, ἵνα καθηράμενοι... οὕτω προσίωμεν Chrys.*hom.6.3 in Is.*6:1(6.141E–142A); **b.** proper preparation for it μὴ μυσταγωγείτω σε ἐπὶ νηστείαν ἡ μέθη. οὐκ ἔστι διὰ μέθης εἴσοδος εἰς ν. ... ἄλλη θύρα ἐπὶ ν. μέθη εἰς ἀκολασίαν εἰσάγει, ἐπὶ ν. αὐτάρκεια Bas.*hom.*1.10(2.9D; M.31.181C); *ib.*2.4(13A; M.189C); τὴν...ν., καὶ διὰ τὴν συνήθειαν, καὶ διὰ τὴν πρὸς ἀλλήλους αἰδῶ, οἱ πολλοὶ καταδέχονται. φοβοῦμαι δὲ τὴν μέθην, ἥν, ὥσπερ τινὰ κλῆρον πατρῷον, οἱ φίλοινοι διασώζουσιν. ὡς γὰρ οἱ πρὸς τὰς μακρὰς ἀποδημίας ἀπαίροντες, οὕτω τινὲς τῶν ἀνοήτων σήμερον πρὸς τὰς πέντε τῶν ν. ἡμέρας οἰνίζονται *ib.*2.7(15B; M.196B); μὴ...διὰ μέθης ἴωμεν εἰς τὴν ν., μηδὲ ἀπὸ ν. εἰς μέθην καταλύσωμεν πάλιν...κἂν μὲν ἐρωτήσω, τίνος

ἕνεκεν εἰς βαλανεῖον τρέχεις σήμερον; ἵνα καθαρῷ τῷ σώματι τὴν ν. ὑποδέξωμαι, φήσεις· ἂν δὲ ἐρωτήσω, τίνος ἕνεκεν μεθύεις; ἐπειδὴ εἰς ν. μέλλω εἰσιέναι, πάλιν ἐρεῖς. καὶ πῶς οὐκ ἄτοπόν ἐστι, σώματι μὲν καθαρῷ, ψυχῇ δὲ ἀκαθάρτῳ καὶ μεθυούσῃ, τὴν καλλίστην ταύτην ἀρετὴν ὑποδέχεσθαι; Chrys.*poenit.*5.5(2.316A,B); **c.** conditions for fruitfulness δευτέραν ἑβδομάδα τῆς ν. παρήλθομεν, ἀλλὰ μὴ τοῦτο σκοπῶμεν· οὐ γὰρ τοῦτό ἐστι παρελθεῖν νηστείαν, ἐὰν τὸν χρόνον παρέλθωμεν, ἀλλ' ἐὰν μετὰ κατορθωμάτων παρέλθωμεν. τοῦτο λογισώμεθα, εἰ σπουδαιότεροι γεγόναμεν...εἰ τὰ ἁμαρτήματα ἀπενιψάμεθα. ἔθος ἅπασιν ἐρωτᾶν κατὰ τὴν τεσσαρακοστήν, πόσας ἕκαστος ἑβδομάδας ἐνήστευσε· καὶ ἔστιν ἀκοῦσαι λεγόντων τῶν μέν, ὅτι δύο, τῶν δέ, ὅτι τρεῖς, τῶν δέ, ὅτι πάσας ἐνήστευσαν τὰς ἑβδομάδας. καὶ τί τὸ κέρδος, ἐὰν ἔρημοι κατορθωμάτων παρέλθωμεν τὴν ν.; ἐὰν ἕτερος λέγῃ, ὅτι πᾶσαν ἐνήστευσα τὴν τεσσαρακοστήν, σὺ εἰπέ, ὅτι ἐχθρὸν εἶχον, καὶ κατηλλάγην· ἔθος εἶχον κακηγορεῖν, καὶ ἐπαυσάμην...οὐδὲν ὄφελος τῆς ν. ἡμῖν, ἂν παρέλθωμεν αὐτὴν ἁπλῶς, εἰκῇ καὶ μάτην. ἂν τὴν τῶν βρωμάτων νηστεύωμεν ν., παρελθουσῶν τῶν τεσσαράκοντα ἡμερῶν παρέρχεται καὶ ἡ ν.· ἐὰν δὲ ἁμαρτημάτων ἀπεχώμεθα, καὶ τῆς ν. παρελθούσης ταύτης, ἐκείνη πάλιν μένει id.*stat.*16.6(2.168D–169A); μὴ διὰ τοῦτο χαίρειν, ὅτι ἐδαπανήθη τῆς ν. τὸ ἥμισυ, ἀλλ' ἐκεῖνο σκοπεῖν, εἰ τῶν ἁμαρτημάτων ἐδαπανήθη τὸ ἥμισυ *ib.*18.1(2.180B); **d.** other practices of abstinence and piety to accompany it τί δήποτε, εἴπερ τίμιος ὁ γάμος...οὐκ ἀφίησιν αὐτὸν χώραν ἔχειν ἐν τῷ τῆς ν. καὶ τῆς προσευχῆς καιρῷ; ὅτι τῶν σφόδρα ἀτόπων ἦν, Ἰουδαίους μὲν...ὡς μέλλοντας θείων ἀκούειν λόγων, ἀποστῆναι καὶ τῆς κατὰ νόμον μίξεως...ἡμᾶς δὲ...μηδὲ εἰς τὴν αὐτὴν ἀφικέσθαι...σπουδήν...οὐ χρὴ συνιέναι κατὰ τὸν τῆς ν. καιρόν...διὰ τοῦτο καὶ ἡ ν. καλόν, ὅτι περικόπτει τὰς τῆς ψυχῆς φροντίδας id.*virg.*30(1.290A–C); αἱ τῆς ν. ἡμέραι, καὶ οἱ σύλλογοι, καὶ αἱ διατριβαὶ αἱ κοιναί, καὶ τὰ ἄλλα ἃ παρ' ἐκείνης ἐκαρπούμεθα καλά id.*Anna* 1.1(4.699C); *ib.*(700D); **e.** effects on community ν. ... δημοσίᾳ δὲ πῶς τῷ βίῳ ἡμῶν ἐμπολιτεύεται; πᾶσαν ἀθρόως τὴν πόλιν, καὶ πάντα τὸν δῆμον μεθαρμόζει πρὸς εὐταξίαν, κοιμίζει κραυγήν...τίνος διδασκάλου παρουσία παίδων θόρυβον οὕτως...καθίστησιν, ὡς ἡ ν. παραφανεῖσα ταραχὴν πόλεως καταστέλλει; ποῖος κωμαστὴς ἐν ν. προῆλθε; ποῖος χορὸς ἀσελγὴς ἀπὸ ν. συνέστη; ἁπαλοὶ γέλωτες...ἐξαπίνης τῆς πόλεως ὑπεξέρχονται, ὥσπερ ὑπὸ δικαστοῦ τινος αὐστηροῦ τῆς ν. φυγαδευθεῖσαι Bas.*hom.*2.5(2.13D; M.31.192B); ν. πόλεως εὐσχημοσύνη, ἀγορᾶς εὐστάθεια, οἴκων εἰρήνη, σωτηρία τῶν ὑπαρχόντων...ὄψει τὴν πόλιν ἐκ ταραχῆς καὶ ζάλης εἰς γαλήνην βαθεῖαν μεταβαλοῦσαν *ib.*1.11(10B; M.184B); *ib.*2.6(14A; M.193A); **f.** fruits should be lasting μένωμεν...ἅπερ ὑπεδεξάμεθα τηροῦντες μετὰ ἀκριβείας, ἵνα καὶ τῆς ν. ἀπελθούσης ὁ τῆς ν. βρύῃ καρπός, καὶ διὰ τῶν ἀγαθῶν, ὧν ἐκαρπωσάμεθα ἀπὸ τῆς ν., καὶ αὐτῆς μνημονεύωμεν τῆς ν. Chrys.*stat.*18.1(2.180D); τοῦτο...ἐπὶ τῆς ν. ποιήσωμεν. καὶ γὰρ κατήχθη πρὸς ἡμᾶς ἡμέρας τεσσαράκοντα, ὑπεδεξάμεθα αὐτὴν φιλοφρόνως, καὶ ἀπεπέμψαμεν· ἐπεὶ οὖν μέλλομεν παρατιθέναι τράπεζαν νῦν πνευματικήν, ἀναμνησθῶμεν αὐτῆς, καὶ τῶν ἐξ αὐτῆς ...ἀγαθῶν. οὐ γὰρ δὴ παρουσία νηστείας μόνον, ἀλλὰ καὶ μνήμη νηστείας τὰ μέγιστα ὠφελῆσαι δύναιτ' ἂν id.*Anna* 1.1(4.699B); ἀπεθέμεθα τῆς ν. τὸ φορτίον, ἀλλὰ μὴ ἀποθώμεθα τῆς ν. τὸν καρπόν· ἔστι γὰρ φορτίον ἀποθέσθαι ν., καὶ καρπὸν δρέπεσθαι ν. ... ἀπῆλθεν ἡ ν., ἀλλὰ μενέτω ἡ εὐλάβεια· μᾶλλον δὲ οὐδὲ ἡ ν. ἀπῆλθεν...παρῆλθεν ἡ ν. ἡ σωματική, ἀλλ' οὐ παρῆλθεν ἡ ν. ἡ πνευματική id.*res.Chr.*1(2.437Aff.); Dor.*doct.*15.1(M.88.1789A); **g.** proper attitude to it ὁρῶ πολλοὺς μικροψύχως ἔχοντας, ὡς ἐν τῷ παρόντι περὶ τῆς μελλούσης μεριμνᾶν τεσσαρακοστῆς, καὶ πολλῶν ἤκουσα λεγόντων, ὅτι μετὰ τὴν τῆς ν. ἀπαλλαγὴν οὐκ αἰσθάνονται τῆς ἡδονῆς τῆς ἐκ τῆς ἀνέσεως διὰ τὴν φροντίδα τοῦ μέλλοντος ἐνιαυτοῦ...τί δὲ τὸ αἴτιον τούτου ἐστίν; ὅτι ν. παραγενομένης οὐχ ὅπως τὰ κατὰ ψυχὴν εὖ διατεθείη σπουδάζομεν, ἀλλ' ἐν τῇ τῶν σιτίων ἀποχῇ μόνον αὐτὴν ὁριζόμεθα. ὡς εἰ μέγα εἰς τὴν τῶν τρόπων διόρθωσιν ἀπ' αὐτῆς ἐκαρπωσάμεθα, κἂν ηὐξάμεθα καθ' ἑκάστην ἡμέραν παραγίνεσθαι τὴν ν. Chrys.*stat.*18.1(2.180E–181A); λέγω οὐκ ἀναγκάζων νηστεύειν, ἀλλὰ πείθων μὴ τρυφᾶν, μηδὲ κατὰ τοὺς πολλοὺς τῶν ἀνθρώπων διακεῖσθαι...οἳ καθάπερ ἐκ δεσμῶν ἀφεθέντες...λέγουσι· μόλις ποτὲ τὸ χαλεπὸν τῆς ν. διηνύσαμεν πέλαγος· ἄλλοι δὲ...καὶ ὑπὲρ τῆς μελλούσης δεδοίκασι τεσσαρακοστῆς. τοῦτο δὲ γίνεται ἐκ τοῦ τὸν ἄλλον ἅπαντα καιρὸν τρυφῇ...ἑαυτοὺς ἐκδιδόναι. ὡς εἴγε μεμελετηκειμεν τὰς ἄλλας ἡμέρας σεμνῶς...ζῆν, καὶ ἀπελθοῦσαν ἂν ἐποθήσαμεν τὴν ν., καὶ παραγίνεσθαι μέλλουσαν μετὰ πολλῆς ἂν ὑπεδεξάμεθα τῆς ἡδονῆς id.*Anna* 1.1(4.700A); **h.** comparison with various seasons: summer ἔχωμεν καὶ τὴν ν. ... σύμμαχον...καθάπερ οὖν...θέρους φανέντος, ἕλκει μὲν πρὸς τὸ πέλαγος τὸ πλοῖον ὁ ναύτης...καὶ γεωργὸς ἀκονᾷ δρέπανον...οὕτω...ἡμεῖς καθάπερ θέρους πνευματικοῦ τινος τῆς ν. φανείσης...ὡς γεωργοὶ τὴν δρεπάνην ἀκονήσωμεν id.*stat.*3.3(2.39A); winter ὑετῶν συνεχῶν καὶ ἐπαλλήλων ἀπελαύσαμεν ἐν τῷ χειμῶνι κατὰ τὸν τῆς ν. καιρὸν διηνεκοῦς μετασχόντες διδασκαλίας, καὶ σπέρματα ἐδεξάμεθα πνευματικά *ib.*18.1(180D); spring ἡδὺ τὸ τῆς ν. ἔαρ, ὅτι κύματα ἡμῖν, οὐχ ὑδάτων, ἀλλ' ἐπιθυμιῶν ἀλόγων καταστέλλειν εἴωθε, καὶ στέφανον ἡμῖν...τὸν ἀπὸ τῶν χαρίτων περιτίθησι τῶν πνευματικῶν...οὐχ οὕτω χελιδὼν φανεῖσα τὸν χειμῶνα ἀπελαύνειν εἴωθεν, ὡς ν. φανεῖσα τὸν χειμῶνα τῶν παθῶν τῆς διανοίας ἐκβάλλει id.*serm.1.1 in Gen.*(4.645B,C); **2.** regulations for observance; **a.** variations in length: originally lasting only during Holy Week, Iren.*ep.Vict.*ap.Eus.*h.e.*5.24.12,13(M.20.500A–504A); one day εἴ τις ἐν ἡμέρᾳ τοῦ πάσχα καὶ τῆς ν. ἐπισφαλῶς νοσηλευομένῳ προσέφερε τροφήν Meth.*symp.*3.12(p.41.9; M.18.80B); general Lenten preparation dist. from Holy Week fast, cf. *sanctum jejunium exordientes die v Pharmuthi; et huic consequenter adjungentes sex illos dies... finem jejunii faciemus die decimo ejusdem Pharmuthi in Sancto hebdomadae Sabbato,* Ath.*ep.fest.*1.10(M.26.1366A); *quadragesimale tempus exordiemur die xiii mensis Phamenoth. deinde ex ordine jejunii abstinentiam prosequentes, sanctam Paschalis hebdomadam incipiemus die xviii mensis Pharmuthi: et die xxiii jejunia finientes,* *ib.*2.8(1371C); five days, Bas.*hom.*2.4(2.12D; M.31.189B); forty days, Chrys.*Anna* 1.1(4.699B); Pall.*v.Chrys.*9(p.56.7; M.47.32); **b.** discussion when Holy Week fast is to end ἐπεὶ μηδὲ τὰς ἓξ τῶν ν. ἡμέρας ἴσως μηδὲ ὁμοίως πάντες διαμένουσιν· ἀλλ' οἱ μὲν καὶ πάσας ὑπερτιθέασιν ἄσιτοι διατελοῦντες, οἱ δὲ δύο, οἱ δὲ τρεῖς, οἱ δὲ τέσσαρας, οἱ δὲ οὐδεμίαν. καὶ τοῖς μὲν πάνυ διαπονηθεῖσιν ἐν ταῖς ὑπερθέσεσιν, εἶτα ἀποκάμνουσι καὶ μόνον οὐκ ἐκλείπουσι, συγγνώμη τῆς ταχυτέρας γεύσεως Dion.Al.*ep.can.*(p.101.9; M.10.1277A); μηδ' ἑτέρᾳ προσήκειν παρὰ τὴν τῆς ἀναστάσεως...ἡμέρᾳ τὰς ν. ἐπιλύεσθαι Eus.*h.e.* 5.23.1(M.20.492A); **c.** inconveniences resulting from different Easter dates ἀπρεπὲς κατὰ τὰς αὐτὰς ἡμέρας ἑτέρους μὲν ταῖς ν. σχολάζειν, ἑτέρους δὲ συμπόσια συντελεῖν, καὶ μετὰ τὰς τοῦ πάσχα ἡμέρας ἄλλους μὲν ἐν ἑορταῖς...ἐξετάζεσθαι, ἄλλους δὲ ταῖς ὡρισμέναις ἐκδεδόσθαι ν. Const.ap.Eus.*v.C.*3.18(p.86.12ff.; M.20.1077A); **d.** food not to be taken before evening, v. ἑσπέρα; **e.** summary of later local divergences τὰς πρὸ τοῦ πάσχα ν., ἄλλως παρ' ἄλλοις φυλαττομένας ἐστὶν εὑρεῖν· οἱ μὲν γὰρ ἐν Ῥώμῃ, τρεῖς πρὸ τοῦ πάσχα ἑβδομάδας, πλὴν σαββάτου καὶ κυριακῆς, συνημμένας νηστεύουσιν. οἱ δὲ ἐν Ἰλλυριοῖς καὶ ὅλῃ τῇ Ἑλλάδι, καὶ οἱ ἐν Ἀλεξανδρείᾳ, πρὸ ἑβδομάδων ἓξ τὴν πρὸ τοῦ πάσχα ν. νηστεύουσι, τεσσαρακοστὴν αὐτὴν ὀνομάζοντες. ἄλλοι δὲ παρὰ τούτους, ἄλλοι πρὸ ἑπτὰ τῆς ἑορτῆς ἑβδομάδων τῆς ν. ἀρχόμενοι, καὶ τρεῖς μόνας πενθημέρους ἐκ διαλειμμάτων νηστεύοντες... ἔστι δὲ εὑρεῖν οὐ μόνον περὶ τὸν ἀριθμὸν τῶν νηστειῶν διαφωνοῦντας, ἀλλὰ καὶ τὴν ἀποχὴν τῶν ἐδεσμάτων οὐχ ὁμοίαν ποιουμένους· οἱ μὲν γὰρ πάντῃ ἐμψύχων ἀπέχονται· οἱ δὲ τῶν ἐμψύχων ἰχθῦς μόνους μεταλαμβάνουσι. τινὲς δὲ σὺν τοῖς ἰχθύσι καὶ τῶν πτηνῶν ἀπογεύονται...ἕτεροι δὲ ἄχρις ἐννάτης ὥρας νηστεύοντες διάφορον ἔχουσι τὴν ἑστίασιν...τοιαύτη...περὶ νηστειῶν διαφωνία κατὰ τὰς ἐκκλησίας ἐστί Socr.*h.e.*5.22.32–41(M.67.632B–636A); **f.** later rationalization of its duration οἱ ἅγιοι ἀπόστολοι ἐβουλεύσαντο πρὸς βοήθειαν...τῶν ψυχῶν ἡμῶν...τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν ἀποδεκατῶσαι...ἡγίασαν ἡμῖν ἀπὸ τῶν τριακοσίων ἑξήκοντα πέντε ἡμερῶν τοῦ ἐνιαυτοῦ, ταύτας ἑπτὰ ἑβδομάδας τῶν ν.· οὕτω γὰρ ἀφώρισαν ἑπτὰ ἑβδομάδας. ἀλλὰ οἱ πατέρες τῷ χρόνῳ συνεῖδον προστεθεῖναι αὐταῖς καὶ ἄλλην μίαν ἑβδομάδα, ἅμα μὲν διὰ τὸ προγυμνάζεσθαι, καὶ οἷον προομαλίζεσθαι τοὺς μέλλοντας εἰσελθεῖν εἰς τὸν κόπον τῶν ν., ἅμα δὲ καὶ τιμῶντες τὰς ν. τῷ ἀριθμῷ τῆς ἁγίας τεσσαρακοστῆς ἣν ἐνήστευσεν ὁ κύριος ἡμῶν. αἱ γὰρ ἑπτὰ ἑβδομάδες ὑφαιρουμένων τῶν σαββάτων καὶ τῶν κυριακῶν, τεσσαράκοντα ἡμέραι γίνονται, τιμωμένης καθ' ἑαυτὴν τῆς ν. τοῦ ἁγίου σαββάτου, διὰ τὸ εἶναι αὐτὴν ἱερωτάτην καὶ μόνην ν., ἀπὸ πάντων τῶν σαββάτων τοῦ ἐνιαυτοῦ Dor.*doct.*15.1(M.88.1788C); **g.** Lenten fast dist. from that of Holy Week φυλακτέα ἡ ν. τῆς τεσσαρακοστῆς, μνήμην περιέχουσα τῆς τοῦ κυρίου πολιτείας τε καὶ νομοθεσίας. ἐπιτελείσθω δὲ ἡ ν. αὕτη πρὸ τῆς ν. τοῦ πάσχα, ἀρχομένη μὲν ἀπὸ δευτέρας, πληρουμένη δὲ εἰς παρασκευήν *Const.App.*5.13.3; τὴν δὲ τεσσαρακοστὴν τὴν πρὸ τῶν ἑπτὰ ἡμερῶν τοῦ ἁγίου πάσχα ὡσαύτως φυλάττειν εἴωθεν ἡ αὐτὴ ἐκκλησία ἐν νηστείαις διατελοῦσα, τὰς δὲ κυριακὰς οὐδ' ὅλως, οὔτε ἐν αὐτῇ τῇ τεσσαρακοστῇ· τὰς δὲ ἓξ ἡμέρας τοῦ πάσχα ἐν ξηροφαγίᾳ διατελοῦσι πάντες οἱ λαοί Epiph.*exp.fid.*22(p.523.18; M.42.828B); Anast.S.*qu.et resp.*64(M.89.664B); **h.** fast relaxed on Saturday and Sunday, Chrys.*hom.11.2 in Gen.*(4.84B); Roman custom of fasting on Saturday in Lent condemned ἐπειδὴ μεμαθήκαμεν ἐν τῇ Ῥωμαίων πόλει ἐν ταῖς...ν. τοῖς...σάββασι νηστεύειν παρὰ τὴν παραδοθεῖσαν ἐκκλησιαστικὴν ἀκολουθίαν, ἔδοξε τῇ ἁγίᾳ συνόδῳ, ὥστε κρατεῖν καὶ ἐπὶ τῇ Ῥωμαίων ἐκκλησίᾳ ἀπαρασαλεύτως τὸν κανόνα [sc. *Can.App.*64] τὸν λέγοντα· εἴ τις κληρικὸς εὑρεθείη...νηστεύων...τὸ σάββατον πλὴν τοῦ ἑνὸς καὶ μόνου, καθαιρείσθω CTrull.*can.*55; cf.Eus.Al.*serm.*1(M.86.313A); **i.** kept more strictly than other fasts, Nect.*Thdr.*9(M.39.1829A); μὴ θήσῃς νόμον

ὥστε ἄλυτον ἔχειν τὴν ν., ἀλλὰ τὴν μὲν τεσσαρακοστὴν κτῆσαι ἑαυτῷ, καὶ μὴ χάριν παρουσίας φίλου λύσῃς τὴν ν. ὁ γὰρ τῆς τεσσαρακοστῆς κανὼν τοῖς πᾶσιν ἐπίκειται νηστεύειν· τὰς δὲ ἄλλας ἡμέρας τετράδας καὶ παρασκευὴν ἐπὶ φίλου μηδὲν διακρίνειν Eus.Al.*serm.*1(M.86.321D–324A); Dor.*doct.*15.2(M.88.1789B); **j.** alleviations εἰ δὲ ἀσθενές σοι τὸ σῶμα, ὥστε νηστεύειν διηνεκῶς, ἀλλ' οὐκ εἰς εὐχὴν ἀσθενές, οὐδὲ πρὸς ὑπεροψίαν γαστρὸς ἄτονον. εἰ γὰρ νηστεύειν οὐ δύνασαι, ἀλλὰ μὴ τρυφᾶν δύνασαι· οὐ μικρὸν δὲ καὶ τοῦτο, οὐδὲ πολὺ νηστείας ἀπέχον Chrys.*hom.57.4 in Mt.*(7.581D); cf.id.*hom.27.2 in Ac.*(9.207C,D).

D. Wednesday and Friday fasts; **1.** in gen., *Did.*8.1 cit. s. νηστεύω; *Const.App.*5.20.18; Eus.Al.*serm.*1(M.86.313A); **2.** reasons and regulations; myst. interprn., Clem.*str.*7.12(p.54.4; M.9.504B); τετράδι δὲ καὶ [ἐν] προσαββάτῳ ἐν ν. ἕως ὥρας ἐνάτης, ἐπειδήπερ ἐπιφωσκούσῃ τετράδι συνελήφθη ὁ κύριος καὶ τῷ προσαββάτῳ ἐσταυρώθη. καὶ παρέδωκαν οἱ ἀπόστολοι ἐν ταύταις νηστείας ἐπιτελεῖσθαι...οὐχ ἵνα χάριν ποιήσωμεν τῷ ὑπὲρ ἡμῶν πεπονθότι, ἡ ν. ἡμῖν προστέτακται, ἀλλ' ὅπως ὁμολογήσωμεν εἰς ἡμῶν σωτηρίαν ⟨γενόμενον⟩ τὸ τοῦ κυρίου πάθος...καὶ ὅπως ὑπὲρ τῶν ἡμῶν ἁμαρτιῶν αἱ ν. ἡμῖν εὐλόγιστοι θεῷ γένωνται. καὶ δι' ὅλου μὲν τοῦ ἔτους ⟨οὕτως⟩ ἡ ν. φυλάττεται ἐν τῇ...ἐκκλησίᾳ, φημὶ δὲ τετράδι καὶ προσαββάτῳ ἕως ὥρας ἐνάτης, δίχα μόνης τῆς πεντηκοστῆς ὅλης τῶν πεντήκοντα ἡμερῶν, ἐν αἷς οὔτε γονυκλισίαι γίνονται οὔτε ν. προστέτακται...ἔτι δὲ ἐν ταῖς ν' ἡμέραις ...τῆς πεντηκοστῆς οὐκ ἔστιν οὔτε ν. ... οὔτε ἐν τῇ ἡμέρᾳ τῶν ἐπιφανείων...ἔξεστι νηστεῦσαι, κἄν τε περιτύχῃ τετρὰς ἢ προσάββατον Epiph.*exp.fid.*22(pp.522.28–523.10; M.42.825B–828B); **3.** in monasteries τὰς δὲ καθολικὰς ν. ... μὴ ἐξὸν λύειν ἄνευ πάσης ἀνάγκης· ἐν γὰρ τετράδι ὁ σωτὴρ παρεδόθη, ἐν δὲ τῇ παρασκευῇ σταυροῦται. ὁ οὖν ταύτας λύων συμπαραδίδωσι τὸν σωτῆρα καὶ συσταυροῖ· ἀλλ' ἐὰν ἥκῃ πρὸς ὑμᾶς ἀδελφὸς ἀναπαύσεως δεόμενος ν. οὔσης, παραθήσεις αὐτῷ μόνῳ τὴν τράπεζαν ‡Pall.*h.mon.*8.58(p.48.21,24; M.34.1148B).

E. special fasts of Eastern Church defended ὑπεισῆλθέ τινας τῶν ἡμετέρων...οἳ...ἀναιδῶς διδάσκουσι μόνην εἶναι ν., ἔκ τε τῶν...πατέρων παραδεδομένην τὴν λεγομένην μεγάλην, τὴν δέ γε τῶν Χριστοῦ γέννων, ἣν καὶ τοῦ ἁγίου Φιλίππου τινὲς ὀνομάζουσι...καὶ τὴν πρὸ τῆς μνήμης τῶν ἁγίων...Πέτρου καὶ Παύλου, μὴ εἶναι, μήτε ἐξ ἀποστολικῆς καὶ πατρικῆς διαταγῆς, ἀλλά τινων εὑρέματα μοναχῶν...τῶν ταύτας...δύο νηστευόντων ν. ‡Anast.Ant.*serm.*4(M.89.1392A,B); regulations ἐνηστεύετο...ἡ τοιαύτη ν. [sc. after Pentecost] μέχρι τῆς κοιμήσεως τῆς θεοτόκου· ὑπὸ δὲ τῶν ἁγίων πατέρων δι' οἰκονομίαν ἐξεκόπη...ἐτυπώθη γάρ, ἄχρι τῆς ἑορτῆς τῶν ἁγίων ἀποστόλων νηστεύειν· εἶθ' οὕτως ἐπιλύειν· εἶτα ἀπ' ἀρχῆς Αὐγούστου νηστεύειν, ἄχρι τῆς κοιμήσεως τῆς θεοτόκου, καὶ πάλιν διαλύειν *ib.*(1397C); τὴν...ν. τῆς τοῦ Χριστοῦ γεννήσεως, τὰς τρεῖς ἡμέρας διαφυλαττέσθω τῆς ἑβδομάδος, ἤτοι β', δ', καὶ ϛ', ἰχθύας καὶ ἔλαιον, καὶ ν. ἐνθέως ποιείτω· ὡσαύτως καὶ τῶν... ἀποστόλων ποιείτω, καὶ τὴν τῆς θεομήτορος ἁγίαν ν. *Catech.Stud.*6(M.99.1696D–1697A); *Nomoc.*429–433; cf.*Const.Stud.*5(1696C,D).

F. other fasts; **1.** baptismal, Clem.*exc.Thdot.*84(p.132.20; M.9.696D); οὐκ ἔστι τοῦτο ν. βαπτίσματος, ὃ μὴ δι' αὐτὸ γέγονεν *Hom.Clem.*13.11; διαμείνωμεν τὴν σήμερον ἐν ν., καὶ αὔριον βαπτισθήσεται *ib.*13.12; **2.** eucharistic παρέμεινεν [sc. Thomas] τῇ ἑαυτοῦ ν., ἔμελλεν γὰρ ἡ κυριακὴ ἐπιφέρειν *A.Thom.*A 29(p.146.4); **3.** before ordination, Chrys.*hom.31.2 in Ac.*(9.242E); **4.** as eccl. penance, *Const.App.*2.16.2; *ib.*2.17.5.

G. heret. fasts; Montanist πλανῶνται, ν. καινὰς καὶ παραδόξους ὁρίζοντες Hipp.*haer.*10.25(p.282.21; M.16.3439C); Apollon.ap.Eus.*h.e.*5.18.2(M.20.476B); Thdt.*haer.*3.2(4.341); Messalian ν. δὲ οὐδ' ὅλως οἴδασιν Epiph.*haer.*80.3(p.488.4; M.42.761A); Thdt.*h.e.*4.11.7(3.967); dualist (Marcion, Valentinus, Manes) ἡ γὰρ ν. καὶ ἡ παρθενία οὔτε καλὸν καθ' ἑαυτό, οὔτε κακόν, ἀλλ' ἀπὸ τῆς τῶν μετιόντων προαιρέσεως ἑκάτερον γίνεται...ὑμεῖς δέ, ὅτι τῷ θεῷ μαχόμενοι καὶ διαβάλλοντες αὐτοῦ τὰ κτίσματα, οὐ μόνον ἀπέχετε τὸν μισθὸν ὑμῶν, ἀλλὰ καὶ κολασθήσεσθε Chrys.*virg.*4(1.271B); Eustathian ν. τε ἐν κυριακῇ ποιούμενοι καὶ τῆς ἁγιότητος τῆς ἐλευθέρας ἡμέρας καταφρονοῦντες καὶ τῶν ν. τῶν ἐν ταῖς ἐκκλησίαις τεταγμένων ὑπερφρονοῦντες CGangr.*ep.*(H.1.531A); Eudoxian ὅτι τῆς τετράδος καὶ παρασκευῆς τὴν ν. ὁ Φιλοστόργιός φησι οὐκ ἐν μόνῃ τῇ τῶν κρεῶν ἀποχῇ περιορίζεσθαι, ἀλλὰ καὶ τὸ μηδὲ τροφῆς ὅλως ἅπτεσθαι μέχρι τῆς ἑσπέρας κανονίζεσθαι Philost.*h.e.*10.12(M.65.592C).

H. Jewish fasts τὴν τῆς ν. καὶ νουμηνίας εἰρωνείαν *Diogn.*4.1; Just.*dial.*40.4(M.6.564A); *ib.*46.2(573B); ὅσοι τὴν ν. τὴν Ἰουδαϊκὴν ὡς μὴ νοοῦντες τὴν τοῦ ἱλασμοῦ ἡμέραν τηρεῖτε [τὴν] μετὰ τὴν Ἰησοῦ Χριστοῦ ἐπιδημίαν, οὐκ ἠκούσατε τοῦ ἱλασμοῦ κεκρυμμένως Or.*hom.12.13 in Jer.*(p.100.15; M.13.397A); ref. Pr.10:3, Ps.36:25, Am.8:11 ἀπὸ μέντοι τῆς ἐν τῷ κρυπτῷ ν. φυλαξώμεθα, περὶ ἧς καὶ ὁ προφήτης ἀπεύχεται λέγων·...μὴ ἔλθῃ καὶ ἐφ' ἡμᾶς ἡ τοῖς Ἰουδαίοις ἀπειληθεῖσα ν. Bas.*hom.*2.8(2.15E–16A; M.31.197A); εἰ δὲ ὅτε τοὺς συνδούλους ἔτυπτες, βδελυκτή σοῦ ἦν ἡ ν., ὅτε τὸν δεσπότην κατέσφαξας, τότε σου προσδεκτὴ ἡ ν. γίνεται; Chrys.*Jud.*1.2(1.590A); *ib.*2.1(601B); ref. Ac.23:14 ἰδοὺ ν. ἀνδροφονίας μήτηρ id.*hom.49.2 in Ac.*(9.366D).

***νηστευτής, ὁ,** *one who fasts,* Bas.*hom.*1.6(2.5D; M.31.172D); Chrys.*hom.2.2 in Tit.*(11.739D); ‡Chrys.*hom.*3(13.209B); τῆς τοῦ ν. οἰκίας ἀγγέλους εἶναι φύλακας Ast.Am.*hom.*14(M.40.373A); Jo.Mosch.*prat.*174(M.87.3041D); as nickname of an ascetic, *Apophth.Patr.*(M.65.177C); of John IV CP, †Jo.Jej.*poenit.*tit.(M.88.1890); ‡Jo.Jej.*can.*(p.432); Thphn.*chron.*p.213(M.108.544B).

***νηστευτικός,** *given to fasting,* Philost.*h.e.*10.12(M.65.592C).

νηστεύ-ω, *fast, abstain;*

A. in gen.; **1.** reasons for fasting; **a.** Passion of Christ διὰ τοῦτο ~ομεν, ὅτι τὸν ἀμνὸν τὸν ἡμέτερον, λοιδορίαι καὶ ῥαπίσματα...καθύβρισαν Gr.Nyss.*paup.*1(M.46.456D); ἐγὼ...ὁ Χριστιανός, καὶ τοῦ σταυρωθέντος δοῦλος, ν. καλῶς, εἴτε πρὸς τὴν ἐλπίδα τῆς ἀναστάσεως ἐμαυτὸν ἐκκαθαίρων, εἴτε ἐπιστυγνάζων ὡς φιλοδέσποτος δοῦλος τοῖς τοῦ κυρίου μου πάθεσι Ast.Am.*hom.*14(M.40.385D); μνημόνευσον...ῥητοῦ τοῦ Μωσαϊκοῦ τοῦ λέγοντος, τῇ δεκάτῃ τοῦ ἑβδόμου μηνὸς χρῆναι ν. δηλοῖ γὰρ ὁ ἕβδομος μὴν τὴν ἑβδόμην ἡμέραν· ἡ δὲ δεκάτη ἡμέρα, τὴν δεκάτην ὥραν, ἐν ᾗ ὁ κύριος ἐπὶ τοῦ σταυροῦ ἀφῆκε τὸ πνεῦμα *ib.*(388B); **b.** for benefit of the poor, *Const.App.*5.1.3; **2.** right dispositions μέλλων τοίνυν ν., μὴ σκυθρωπάσῃς Ἰουδαϊκῶς, ἀλλ' εὐαγγελικῶς σεαυτὸν καταφαίδρυνον· μὴ πενθῶν τῆς γαστρὸς τὴν ἔνδειαν, ἀλλὰ συνηδόμενος τῇ ψυχῇ τῶν πνευματικῶν ἀπολαύσεων Bas.*hom.*2.3(2.12C; M.31.189A); *ib.*2.4(13B; M.192A); Chrys.*stat.*3.3(2.40A,B); τὸν ~οντα κατεσταλμένον εἶναι χρή, ἡσύχιον, ἥμερον, ταπεινόν id.*hom.8.6 in Gen.*(4.63C); **3.** bodily fasting to be supported by moral and spiritual fasting, Sever.*creat.*1.7(M.56.437); *ib.*(438); σῶμα ~ον ἁγιάζεται, ψυχὴ μὴ τρεφομένη φθείρεται. γένοιτο δὲ τὸ μὲν σῶμα ν. ἀπὸ ἁμαρτημάτων, τὴν δὲ ψυχὴν ἐντρυφᾶν τοῖς θείοις δόγμασιν *ib.*; ~εις; δεῖξόν μοι διὰ τῶν ἔργων αὐτῶν. ... ἐὰν ἴδῃς πένητα, ἐλέησον· ἐὰν ἴδῃς ἐχθρόν, καταλλάγηθι...μὴ γὰρ δὴ στόμα ~έτω μόνον, ἀλλὰ καὶ ὀφθαλμός, καὶ ἀκοή...καὶ πάντα τὰ τοῦ σώματος ἡμῶν μέλη κτλ. Chrys.*stat.*3.4(2.41D); θέλεις ~σαι καλῶς; δίδαξον ~ειν τὴν γλῶσσαν καὶ τοὺς ὀφθαλμοὺς καὶ τὰς χεῖρας καὶ τοὺς πόδας Eus.Al.*serm.*1(M.86.320C,D); τί σοι ὄφελον ~σασθαι; δίδαξον καὶ ὅλον τὸ σῶμά σου, καὶ τὴν ψυχὴν καὶ τὸ πνεῦμα *ib.*(321A); χρήζομεν δὲ μὴ μόνον τὴν δίαιταν ἑαυτῶν φυλάττειν, ἀλλὰ καὶ πάσης ἄλλης ἁμαρτίας ἀπέχεσθαι, ἵνα ὥσπερ ~ομεν τῇ κοιλίᾳ, οὕτως ν. καὶ τῇ γλώττῃ, ἀπεχόμενοι ἀπὸ καταλαλίας ...ὁμοίως ~ειν τοῖς ὀφθαλμοῖς τὸ μὴ βλέπειν μάταια Dor.*doct.*15.4(M.88.1792D); **4.** spiritual fasting possible without bodily fast ὥσπερ, ὅτε ἐνηστεύετε, ἔλεγον ὑμῖν ὅτι ἐστὶ ~οντα μὴ νηστεύειν, οὕτω καὶ νῦν λέγω ὅτι ἐστὶ μὴ ~οντα ν. ... πῶς ἔστι ~οντα μὴ ν.; ὅταν τις...τροφῆς μὲν ἀπολαύῃ, ἁμαρτίας δὲ μὴ γεύηται Chrys.*res.Chr.*(2.437B–438A); cf. ὁ...ν. μὴ δυνάμενος, δαψιλεστέραν τὴν ἐλεημοσύνην ἐπιδεικνύσθω, εὐχὰς ἐκτενεῖς id.*hom.10.2 in Gen.*(4.73A); **5.** effects; **a.** aid to prayer, *Const.App.*5.20.17; ὁ ~ων κοῦφός ἐστι καὶ ἐπτερωμένος, καὶ μετὰ νήψεως εὔχεται, καὶ τὰς ἐπιθυμίας σβέννυσι τὰς πονηράς Chrys.*hom.57.4 in Mt.*(7.581B); ~οντος προσευχή, νεοσσὸς ἀετοῦ ἀνιπτάμενος...~οντος νοῦς, ἀστὴρ ἐν αἰθρίᾳ λαμπρός Nil.*spir.mal.*1(M.79.1145B); **b.** restoration to paradise, Bas.*hom.*1.4(2.3C; M.31.168B) **c.** union with Christ, *ib.*2.4(12E; M.189C); **d.** effect on outward appearance ~οντος σεμνὸν τὸ χρῶμα, οὐκ εἰς ἐρύθημα ἀναιδὲς ἐξανθοῦν ...ὀφθαλμὸς πραῢς...πρόσωπον σύννουν *ib.*1.9(7D; M.177B); **e.** in working of miracle ~σας Ἠλίας ἀπέκλεισε τὸν οὐρανόν Bas.*hom.*2.6(2.14D; M.31.193B); **6.** various aspects: as sign of repentance, Or.*hom.20.9 in Jer.*(p.191.25; M.13.521B); undertaken for persecutors, *Did.*1.3; privacy in fasting impossible for bishop, cf.Hipp.*trad.ap.*25.2; advisability of fasting in temptations, Chrys.*hom.31.2 in Ac.*(9.243E); as universal obligation, Ast.Am.*hom.*14(M.40.376B); false pretence of fasting οἶδα πολλούς, οὐχὶ ~οντας καὶ ἐπιδεικνυμένους μόνον, ἀλλὰ καὶ μὴ ν., καὶ τὰ τῶν ~όντων προσωπεῖα περικειμένους, καὶ ἀπολογίαν χείρονα τῆς ἁμαρτίας προβαλλομένους. ἵνα γὰρ μὴ σκανδαλίσω, φησί, τοὺς πολλούς, τοῦτο ποιῶ Chrys.*hom.20.1 in Mt.*(7.259B,C); enjoined esp. on women, cf. χῆραι καὶ παρθένοι πολλάκις ~έτωσαν Hipp.*trad.ap.*25.1; τὰς γυναῖκας ἁρμόζῃ ἵνα πάντοτε ~ωσι ‡Ath.*exhort.*2(M.28.1112A); γυναιξὶ δὲ ὥσπερ τὸ ἀναπνεῖν, οὕτω καὶ τὸ ν. οἰκεῖόν ἐστι καὶ κατὰ φύσιν Bas.*hom.*2.2(2.11E; M.31.188B).

B. ref. fasting of Christ εἰ μηδὲν εἰλήφει παρὰ τῆς Μαρίας...οὐδ' ἂν εἰς τεσσαράκοντα ἡμέρας, ὁμοίως ὡς Μωϋσῆς καὶ Ἠλίας, ~σας ἐπείνησε Iren.*haer.*3.22.2(M.7.957A); ἀπ' ἐξουσίας μετὰ τὸ βάπτισμα ~ει ὡς κύριος Ἰωάννου· ὁ δὲ εἰς τὸν αὐτοῦ μυούμενος πρότερον ὀφείλει ~σαι καὶ τότε βαπτίσασθαι *Const.App.*7.22.6; διὰ δὴ τοῦτο καὶ αὐτὸς ~ει τεσσαράκοντα ἡμέρας, ἡμῖν τὰ φάρμακα τῆς σωτηρίας δεικνύς, καὶ οὐ προέρχεται περαιτέρω, ὥστε μὴ πάλιν τῇ ὑπερβολῇ τοῦ θαύματος

ἀπιστηθῆναι τῆς οἰκονομίας τὴν ἀλήθειαν Chrys.*hom.13.2 in Mt.*(7.169B).

C. fasting as special feature of ascetic life, ref. consecrated virgins, Ath.*virg.*6(p.40.12; M.28.257C); ~σον ὅλον τὸν ἐνιαυτὸν χωρὶς πάσης ἀνάγκης· ὥρᾳ δὲ ἐνάτῃ...μεταλάμβανε τὸν ἄρτον σου ἐν λαχάνῳ ἀναπεποιημένῳ ἐλαίῳ *ib.*8(p.43.1; 261B); προαιρέσει δὲ ἀγαθῇ οἱ...ἀσκηταὶ διὰ παντός, χωρὶς κυριακῆς καὶ πεντηκοστῆς, ν. ... τὰς δὲ κυριακὰς ἁπάσας τρυφερὰς ἡγεῖται ἡ...ἐκκλησία...οὐ ν. ⟨δέ⟩· ἀνακόλουθον γάρ ἐστιν ἐν κυριακῇ ν. Epiph.*exp.fid.*22(p.523.13ff.; M.42.828B); κάτοπτρον κάλλιστον τῇ...παρθένῳ τὸ ν., ἐν τούτῳ γὰρ καὶ θεὸν κατοπτρίζεται Nil.*epp.*1.163(M.79.148D).

D. fasting in Lent and Holy Week; **1.** gen. obligation, Ath.*ep. encycl.*4(p.173.13; M.25.232A); μηδεὶς ἑαυτὸν ἔξω ποιείτω τοῦ καταλόγου τῶν ~όντων...ἄγγελοί εἰσιν οἱ καθ' ἑκάστην ἐκκλησίαν ἀπογραφόμενοι τοὺς ν. Bas.*hom.*2.2(2.11C; M.31.185D–188A); ἕκαστος γὰρ Χριστιανὸς ὑπόκειται ν. ἐν ταῖς ἡμέραις τῆς τεσσαρακοστῆς· ὀφείλουσιν δὲ ν. ὡς ταγμάτων μοναχῶν, οὕτω καὶ τῶν λαϊκῶν Eus.Al.*serm.*1(M.86.316A); together with Wednesday and Friday fasts εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος...τὴν ἁγίαν τεσσαρακοστὴν οὐ ν., ἢ τετράδα ἢ παρασκευήν, καθαιρείσθω, ἐκτὸς εἰ μὴ δι' ἀσθένειαν σωματικὴν ἐμποδίζοιτο· ἐὰν δὲ λαϊκὸς ᾖ, ἀφοριζέσθω *Can.App.*69; **2.** reasons; **a.** for its duration τίνος οὖν ἕνεκεν ~ομεν...τὰς τεσσαράκοντα ταύτας ἡμέρας; πολλοὶ τὸ παλαιὸν τοῖς μυστηρίοις προσῄεσαν ἁπλῶς καὶ ὡς ἔτυχε, καὶ μάλιστα κατὰ τὸν καιρὸν τοῦτον, καθ' ὃν ὁ Χριστὸς αὐτὰ παρέδωκε. συνειδότες οὖν οἱ πατέρες τὴν βλάβην τὴν γινομένην ἐκ τῆς ἠμελημένης προσόδου, συνελθόντες ἐτύπωσαν ἡμέρας τεσσαράκοντα νηστείας, εὐχῶν Chrys.*Jud.*3.4(1.611C); **b.** for abstinence during Holy Week παρήγγειλεν...ν. τὰς ἓξ ἡμέρας ταύτας διὰ τὴν τῶν Ἰουδαίων δυσσέβειαν *Const.App.*5.14.20; ἂν οὖν ἔρηταί σε Ἰουδαῖος καὶ Ἕλλην, τίνος ἕνεκεν ~εις, μὴ εἴπῃς, ὅτι διὰ τὸ πάσχα, μηδὲ ὅτι διὰ τὸν σταυρόν...οὐ γὰρ διὰ τὸ πάσχα ~ομεν, οὐδὲ διὰ τὸν σταυρόν, ἀλλὰ διὰ τὰ ἁμαρτήματα τὰ ἡμέτερα, ἐπειδὴ μέλλομεν μυστηρίοις προσιέναι· ἐπεὶ τό γε πάσχα οὐ νηστείας ἐστὶν...ἀλλ'...χαρᾶς ὑπόθεσις Chrys.*Jud.*3.4(1.611E); **c.** evidence for this view ὁ γοῦν κατηχούμενος οὐδέποτε πάσχα ἐπιτελεῖ, καίτοι ~ων κατ' ἐνιαυτόν, ἐπειδὴ προσφορᾶς οὐ κοινωνεῖ, ὥσπερ οὖν καὶ ὁ μὴ ν., ἂν μετὰ καθαροῦ προσέλθῃ συνειδότος, πάσχα ἐπιτελεῖ *ib.*3.5(612B); **3.** regulations for Holy Week fast ἐν ταῖς ἡμέραις οὖν τοῦ πάσχα ~ετε, ἀρχόμενοι ἀπὸ δευτέρας μέχρι τῆς παρασκευῆς καὶ σαββάτου, ἓξ ἡμέρας, μόνῳ χρώμενοι ἄρτῳ καὶ ἁλὶ καὶ λαχάνοις καὶ ποτῷ ὕδατι...τὴν μέντοι παρασκευὴν καὶ τὸ σάββατον ὁλόκληρον ~σατε, οἷς δύναμις πρόσεστιν τοιαύτη, μηδενὸς γευόμενοι μέχρις ἀλεκτοροφωνίας νυκτός· εἰ δέ τις ἀδυνατεῖ τὰς δύο συνάπτειν ὁμοῦ, φυλασσέσθω κἂν τὸ σάββατον *Const.App.*5.18.1,2; *ib.*5.19.2.

E. ref. Wednesday and Friday fast αἱ δὲ νηστεῖαι ὑμῶν μὴ ἔστωσαν μετὰ τῶν ὑποκριτῶν. ~ουσι γὰρ δευτέρᾳ σαββάτων καὶ πεμπτῇ· ὑμεῖς δὲ ~σατε τετράδα καὶ παρασκευὴν *Did.*8.1; τετράδα καὶ παρασκευὴν ~οντες...εἴ τις κυριακὴν ἢ σάββατον ν., πλὴν ἑνὸς σαββάτου [τοῦ πάσχα], οὗτος Χριστοκτόνος ἐστίν ‡Ign.*Phil.*13; τετράδα δὲ καὶ παρασκευὴν προσέταξεν ἡμῖν ν., τὴν μὲν διὰ τὴν προδοσίαν, τὴν δὲ διὰ τὸ πάθος *Const.App.*5.14.20; *ib.*5.20.18; ἡ ἐκκλησία τὴν τετράδα φυλάττει διὰ τὴν τοῦ κυρίου σύλληψιν, ~ουσα δι' ὅλου τοῦ ἔτους πάρεξ μόνον πεντηκοστῆς καὶ ἐπιφανίων Epiph.*ep.fr.*(p.206.4); Friday because of Crucifixion, *ib.*(p.207.15); Socr.*h.e.*7.22.3(M.67.785A); Soz.*h.e.*7.19.9(M.67.1477C).

F. Sunday fasting forbidden, CGangr.*can.*18; *Const.App.*5.20.19; Epiph.*exp.fid.*22(p.523.13; M.42.828B); to which Saturday was added later, cf. σάββατον καὶ κυριακὴν μὴ ~σῃς ‡Ath.*syntag.*2.13(p.123; M.28.840A); Eus.Al.*serm.*1(M.86.324A).

G. fasting after octave of Pentecost μετὰ οὖν τὸ ἑορτάσαι ὑμᾶς τὴν πεντηκοστὴν ἑορτάσατε μίαν ἑβδομάδα, καὶ μετ' ἐκείνην ν. μίαν· δίκαιον γὰρ καὶ εὐφρανθῆναι...καὶ ν. μετὰ τὴν ἄνεσιν *Const.App.*5.20.14.

H. fasting before baptism πρὸ δὲ τοῦ βαπτίσματος προνηστευσάτω ὁ βαπτίζων καὶ ὁ βαπτιζόμενος καὶ εἴ τινες ἄλλοι δύνανται· κελεύεις δὲ ~σαι τὸν βαπτιζόμενον πρὸ μιᾶς ἢ δύο *Did.*7.4; cf.*Const.App.*7.22.4,6; ὅσοι ποτὲ βαπτισθῆναι θέλετε, ἀπὸ τῆς αὔριον ν. ἄρξασθε *Hom.Clem.*4.73; *ib.*11.35; *ib.*13.9.

I. at ordination, Chrys.*hom.27.2 in Ac.*(9.217C).

J. *abstain (from)* ἐὰν μὴ νηστεύσητε τὸν κόσμον, οὐ μὴ εὕρητε τὴν βασιλείαν τοῦ θεοῦ *Agraph.*48(p.68); οἱ τοῦ κόσμου ~οντες Clem.*str.*3.15(p.242.2; M.8.1200B); *ib.*7.12(p.54.7; M.9.504B).

νήστης, *fasting*, *Asen.*13(p.57.16); Pall.*v.Chrys.*16(p.95.23; M.47.54); ref. fasting Communion as unwritten tradition, ‡Jo.D.*Const.*5(M.95.320B).

νηστικός (A), *fasting* ἅγια θυσιαστηρίου, εἰ μὴ ἀπὸ ν. ἀνθρώπων, μὴ ἐπιτελεῖσθαι ἐξῃρημένης μιᾶς ἐτησίας ἡμέρας, ἐν ᾗ τὸ κυριακὸν δεῖπνον ἐπιτελεῖται *Cod.Afr.*41; CTrull.*can.*29; τὸ κοινωνεῖν νηστικόν as one of unwritten traditions of Church, Anast.S.*hod.*1(M.89.40C).

νηστικός (B), *of* or *for spinning* ἡ ν. [sc. τέχνη] *the art of spinning*, Or.*Cels.*4.76(p.346.17; M.11.1148C).

νήστιμος, *of* or *belonging to a fast*, Thphl.Al.*theoph.*(M.65.33B).

[*]**νηφάλαιος**, v. νηφάλιος.

νηφαλέος, = νηφάλιος; **1.** of persons, *temperate, sober*, *A.(Pass.) Andr.*12(p.28.6); **2.** of things, *sober* ἔξοδον...ν. ... ἔχουσα *A.Jo.*69(p.184.10); v.l. for νηφαλίου, Cyr.H.*catech.*4.1.

***νηφαλεόω**, *waken, rouse*, Thdr.Stud.*epp.*1.37(M.99.1041A).

νηφαλέως, *soberly, with a sober mind*, Didym.*Trin.*2.27(M.39.765B); ref. prayer, Mac.Aeg.*hom.*33.1(M.34.741B); ref. behaviour in church, *Const.App.*2.57.13.

νηφάλιος (νηφάλαιος), **1.** *without wine, temperate*, Clem.*prot.*12(p.84.9; M.8.240B); ν. ποτὸν...ὕδωρ id.*paed.*2.2(p.167.20; M.8.409A); *ib.*2.4(p.182.7; 440C); Or.*Jo.*10.12(10; p.183.5; M.14.328B); πνευματικοῦ...πιεῖν οἴνου, καὶ μεθυσθῆναι μέθην ν. Mac.Aeg.*carit.*15(M.34.921A); **2.** *sober*, opp. drunken, Thdt.*1Tim.*3:11(3.656); -αιος id.*qu.10 in Lev.*(1.188); **3.** τὸ ν. *temperance*, Clem.*paed.*2.9(p.206.21; M.8.493C); **4.** *sober-minded* ν. φρονήματι θεοῦ γνῶσιν ἀναλαβεῖν Eus.*d.e.*10.8(p.473.9; M.22.761B); χρεία...ν. διανοίας Cyr.H.*catech.*4.1; Nil.ap.Proc.G.*Cant.*4:13–15(M.87.1673B); Cyr.*Lc.*6:41(M.72.604A); **5.** *vigilant, alert*, Ephr.1.100F; -αιος id.1.221C; ν. ... τουτέστι, διορατικόν,...ὀξὺ βλέποντα Chrys.*hom.10.1 in 1Tim.*(11.599B).

***νηφαλιότης**, ἡ, *vigilance, perspicacity*, Constantius Imp.ap.Ath.*h.Ar.*23(p.195.26; M.25.720C); Ephr.1.94F; †Gr.Thaum.*ep.Philagr.*(M.46.1101A).

***νηφόντως**, **1.** *soberly*, Gr.Nyss.*Eun.*1(1 p.197.16; M.45.444B); Isid.Pel.*epp.*1.392(M.78.404A); Jo.Clim.*scal.*1(M.88.641B); **2.** *vigilantly, alertly*, Ephr.1.272E; †Bas.*hom.in Ps.*37(1.362B; M.30.81D); Chrys.*hom.27.4 in Heb.*(12.251B).

νήφ-ω, **1.** *be temperate, drink no wine* ὅμοιον ποιεῖν τὸν διδάσκαλον [sc. Christian], ⟨ὡς⟩ εἴ τις μεθύων εἰς μεθύοντας παριὼν κακηγορεῖ τοὺς ~οντας ὡς μεθύοντας Cels.ap.Or.*Cels.*3.76(p.268.13; M.11.1020C); met. ~ε ὡς θεοῦ ἀθλητής Ign.*Polyc.*2.3; τοῦ διὰ τὴν κακίαν μεθυσθέντος καὶ τὸ ν. ἀπολωλεκότος Or.*Jo.*6.58(37; p.166.22; M.14.300C); **2.** *be sober, sober-minded*, Meth.*symp.*8.13(p.97.14; M.18.160A); Gr.Nyss.*or.catech.*39(p.155.14; M.45.100B); Cyr.*Ps.*35:12(M.69.921C); **3.** *recover one's senses, become sane*, Or.*Cels.*8.66(p.282.6; M.11.1616A); *A.Thom.*A 63(p.180.10); *Hom.Clem.*11.3; Call *v.Hyp.*(p.88); **4.** *be sane*, Phot.*nomoc.*13.30(M.104.965A); **5.** *be vigilant, alert* ~οντες πρὸς τὰς εὐχάς Polyc.*ep.*7.2; ~ωμεν ἐπὶ τὸ ἀγαθόν *2Clem.*13.1; Ephr.1.94F; *Const.App.*2.20.5; περὶ τὰ τοιαῦτα ~οντες *ib.*2.50.3; ν. ἐν κυρίῳ *ib.*3.6.5; Chrys.*stat.*4.1(2.50C); ν. εἰς τὰ ἔργα *Apophth.Patr.*(M.65.101A); Thdt.*Cant.*7:2–5(2.145).

νήχ-ομαι, *swim*; met., *be tossed about* μίαν οὐκ ἔχουσι τὴν γνώμην, ἀλλὰ ποικίλαις...~ονται μεταβολαῖς Ath.*syn.*14(p.241.30; M.26.705B); Cyr.*Ag.*11(3.639B); id.*apol.Thdt.*4(p.125.5; 6^1.218E); Andr.Caes.*Apoc.*55.19(M.106.392D).

νῆψις, ἡ, **1.** *sobriety, temperance*, Chrys.*hom.18.2 in Jo.*(8.106B); id.*hom.13.3 in 1Tim.*(11.621B); *ib.13.4*(622D); **2.** *sobriety, sober-mindedness*, Meth.*symp.*11(p.129.17; M.18.205A); Mac.Aeg.*hom.*4.2(M.34.473B); Cyr.*Ps.*37:11(M.69.964A); id.*Jo.*1.2(4.15A); **3.** plur., *sober counsels*, id.*ador.*6(1.199E); id.*Am.*59(3.316C); **4.** *recovery of senses*, Isid.Pel.*epp.*1.240(M.78.329C); Cyr.*Lc.*6:37(M.72.600B); **5.** *vigilance, alertness*, Ath.*decr.*1(p.1.3; M.25.416A); Ephr.1.237E; as monastic virtue, id.1.479D; Chrys.*sac.*6.8(p.155.8; 1.427D); Cyr.*Abac.*17(3.532C).

[*]**νίβω**, v. νίπτω.

νικ-άω, **A.** *conquer*; **1.** in gen., ref. meaning of name Israel ἄνθρωπος ~ῶν δύναμιν· τὸ γὰρ ἴσρα ἄνθρωπος ~ῶν ἐστι, τὸ δὲ ἤλ δύναμις Just.*dial.*125.3(M.6.765D); **2.** of Christ's victory παθεῖν ὑπέμεινεν, ἵνα ἀποθανὼν καὶ ἀναστὰς νικήσῃ τὸν θάνατον id.*1apol.*63.16(M.6.425B); ἥνωσεν οὖν...τὸν ἄνθρωπον τῷ θεῷ· εἰ γὰρ μὴ ἄνθρωπος ἐνίκησε τὸν ἀντίπαλον τοῦ ἀνθρώπου, οὐκ ἂν δικαίως ἐνικήθη ὁ ἐχθρός Iren.*haer.*3.18.7(M.7.937A); τοῦ λόγου...συγγινομένου τῷ ἀνθρώπῳ ἐν τῷ ν. *ib.*3.19.3(941A); βούλεται...~ῆσαι θάνατον Clem.*prot.*1(p.6.30; M.8.60B); Or.*engast.*6(p.289.2; M.12.1020D); ὁ κύριος, ἡ ἀφθαρσία ~ήσασα τὸν θάνατον Meth.*symp.*3.7(p.34.25; M.18.72B); Cosm.Ind.*top.*2(M.88.124B); κύριε...νίκα *Inscr.*(*Hesp.*16 p.49, Athens [post sacc. vi]); the Temptations, Or.*hom.32 in Lc.*(p.193.1); **3.** of victory over spiritual enemies οὗτος τὸ ἀγαθὸν ποιῶν ~ᾷ τὸ κακόν *T.Benj.*4.3; συμπαλαίσαντες τῷ διαβόλῳ ἐνίκησαν αὐτόν Herm.*sim.*8.3.6; ἄνθρωποι...θανάτῳ τῷ διὰ πίστεως τὸν θάνατον νενικήκασιν...δυνατὸν δὲ παντὶ τῷ νενικημένῳ πάλιν ~ᾶν, τοῦ θανάτου τὴν σύστασιν παραιτούμενον Tat.*orat.*15(p.17.6,9; M.6.840B); ἐὰν ἐθέλῃς μόνον

νενίκηκας τὴν ἀπώλειαν Clem.*prot*.12(p.83.24; M.8.240A); τοῦ...κατ' ἀρετὴν ~ῶντος id.*str*.1.24(p.100.14; M.8.908A); ref. proverbial sporting expression ἐκεῖνος 'ἄνδρας νικᾷ' ὁ γάμῳ...καὶ τῇ τοῦ οἴκου προνοίᾳ...ἀλυπήτως ἐγγυμνασάμενος...ἀδιάστατος τῆς τοῦ θεοῦ γενόμενος ἀγάπης *ib*.7.12(p.51.6; M.9.497C); ~άτω γὰρ ἡ πίστις πάντῃ Meth. *symp*.8.4(p.85.10; M.18.144B); ψυχὴ ~ῶσα τὰ πάθη *ib*.9.4(p.118.9; 185A); **4.** νίκα and νικᾷ in special cases; **a.** of Const.'s vision τούτῳ νίκα Eus.*v.C*.1.28(p.21.17; M.20.944B); Socr.*h.e*.1.2.7(M.67.37A); **b.** in acclamations νικᾷ ἡ πίστις τῆς τριάδος...νικᾷ ἡ πίστις τῆς Αὐγούστας *Libell*.ap.CCP(518)*act*.(*ACO* 3 p.72.10ff.; H.2.1333D); νικᾷ Ἰουστῖνος CTyr.(518)*act*.(*ACO* 3 p.87.4; H.2.1356E); *ib*.(p.88.27; 1357E); νικᾷ ἡ πίστις τοῦ βασιλέως CCP(536)*act*.4(*ACO* 3 p.181.26; H.2.1261D); **c.** watchword in rebellion against Justn. in 532, hence τὸ Νίκα...ἐπίκλησιν καλοῦσιν Evagr.*h.e*.4.13(p.163.11; M.86.2728A); *Chron.Pasch*.p.336(M.92.873A); Thphn.*chron*.p.154(M.108.417A).

B. *excel, surpass* τοῖς ἰδίοις βίοις ~ῶσι τοὺς νόμους *Diogn*.5.10; ~ῶμεν ἐκεῖνον...τῇ πονηρίᾳ τὸν πλούσιον Bas.*hom*.21.8(2.169B; M.31.553B); ἀνθρώπους θηρίων ὠμότητα ~ῶντας Chrys.*hom.19.9 in Mt*.(7.258C); τὸν κακίᾳ νικήσαντα πάντας ἀνθρώπους Νέρωνα *ib.33.4*(383A); ὁ πάντας ἀσεβείᾳ νικήσας Ἰουλιανός *ib.43.3*(462E); θεὸς...τὴν ἀνθρώπου φύσιν ~ῶν, ~ήσει πάντως αὐτὴν καὶ περὶ τὸν τοῦ γεννᾶν τρόπον Cyr.*thes*.6(5^1.43E).

C. *exceed* λοιδορίᾳ...~ώσῃ τὸ μέτριον Didym.*Trin*.2.8(M.39.613D); Chrys.*stat*.21.1(2.214A); id.*hom.3.3 in Eph*.(11.20D); ἀριθμὸν ~ῶντας Thdt.*Os*.1:10(2.1317); id.*haer*.5.11(4.425).

D. *prevail over, overcome* τὴν ψυχὴν ἡμῶν ~ήσωμεν *2Clem*.16.2; Clem.*prot*.4(p.44.34; M.8.156A); Thdt.*Ps*.18:13(1.723); pass. c. genit. κλέπτης ἦν, κτεάνων ~ώμενος Nonn.*par.Jo*.12:6(M.43.852A).

E. *prevail* to, *succeed* in after a struggle ἐνίκησε σκορπίσαι *Pss. Sal*.4.13.

F. *get the better of*, hence *do away with, annul*, Thdt.*Jer*.27:18 (2.531); ~ῆσαι ἄρα φιλονεικοῦσι τοῦ πατρὸς τὴν προσφωνίαν κτίσμα τὸν υἱὸν προσαγορεύειν τολμῶντες id.*haer*.5.2(4.384).

νίκη, ἡ, 1. *victory*; **a.** Christ's Χριστὸν...κατὰ τοῦ θανάτου νίκας ἐπιδειξάμενον Ath.*inc*.29.1(M.25.145B); λαβὼν τὴν κατὰ τῶν ἀντικειμένων δαιμόνων ν. *ib*.37.5(160D); Eus.*v.C*.1.32(p.22.25; M.20.948B); id.*l.C*.18(p.259.24; M.20.1440B); Chrys.*coemet*.2(2.400C); τὴν ν. τοῦ δευτέρου Ἀδάμ Cosm.Ind.*top*.2(M.88.121C); ἀνέστην...τὴν ν. ἔχων κατὰ τοῦ θανάτου, καὶ πάσῃ τῇ ἀνθρωπείᾳ φύσει πρόξενος τῆς ν. γεγένημαι, δι' ἐμοῦ εἰς πᾶσαν τὴν ἀνθρωπότητα τῆς ν. διαδραμούσης *ib*.(124B); *CIG* 8922 (Antioch); **b.** in spiritual warfare ἔργον δὲ τὸ ἀγώνισμα καὶ τέλος ἡ ν. Clem.*str*.1.8(p.26.8; M.8.736B); ἀθλητὴς ἀληθῶς ὁ ἐν τῷ μεγάλῳ σταδίῳ, τῷ...κόσμῳ τὴν ἀληθινὴν ν. κατὰ πάντων στεφανούμενος τῶν παθῶν *ib*.7.3(p.14.24; M.9.424C); οὗτος νόμος τῆς ἐν Χριστιανοῖς ν., καὶ ὁ ἔλαττον ἔχειν καταδεξάμενος στεφανοῦται Bas.*ep*.191(3.284B; M.32.701B); ἐν τῷ παθεῖν κακῶς ἡ ν. Chrys.*hom.33.2 in Mt*.(7.380B); *ib.84.4*(802D); **c.** in acclamations τὴν ν. τοῦ Αὐγούστου CTyr.(518)*act*.(*ACO* 3 p.86.24; H.2.1356C); *ib*. (p.89.5; 1360B); **2.** *superiority, gaining of advantage* τὴν ἐν τοῖς φιλικοῖς ἧτταν νίκης ἔχειν δύναμιν Bas.*ep*.65(3.158A; M.32.421B); Marc. Er.*opusc*.3.3(M.65.969A); *ib*.3.4(1021B); **3.** *advantage, gain* ἱερεῖς οἱ ζητοῦντες ν. ἐνταφιασμοῦ *Nomoc*.85.

νικητήριος, *of* or *belonging to victory*; neut. plur. as subst.; **1.** *reward* or *prize of victory*, in spiritual warfare αἱ...παρθενεύσασαι τῷ Χριστῷ τὰ ν. φέρονται τῶν ἄθλων Meth.*symp*.8.2(p.83.11; M.18.141A); Bas.*hom.in Ps*.28(1.116C; M.29.288A); of crown of martyrdom, Eus.*h.e*.4.16.1(M.20.364B); **2.** *victory*, id.*v.C*.2.6(p.44.4; M.20.988A); *ib*.2.23(p.50.19; 1000D); Bas.*hom*.12.10(2.106C; M.31.408A); Gr.Nyss.*hom.12 in Cant*.(M.44.1017D); **3.** *memorial of victory*, Eus. *v.C*.3.50(p.98.26; M.20.1109B); **4.** sing. as subst., *conqueror*, Thdr. Stud.*epp*.2.18(M.99.1173B).

νικητής, ὁ, *conqueror*; **1.** in gen. νικηταὶ τῆς πλάνης *M.Ner.et Ach*.14(p.13.29); **2.** as imperial title αὐτοκράτορι καίσαρι σεβαστῷ ν. τροπαιούχῳ [i.e. Domitian: perh. late passage] *A.Jo*.3(p.152.23); devised by Const., Eus.*v.C*.2.19(p.48.22; M.20.996B); ν. Κωνσταντῖνος μέγιστος σεβαστός Const.*ib*.2.24(p.51.3; M.20.1001B); Eus.*h.e*. 10.9.6(M.20.904A); Κωνστάντιος ν. αὔγουστος Constantius Imp.ap. Ath.*apol.sec*.51(p.132.11; M.25.341A); **3.** of Christ, Const.ap.Gel. Cyz.*h.e*.2.7.19(M.85.1236C); νικητῇ γὰρ ἀκολουθεῖς βασιλεῖ, τῆς νίκης αὐτοῦ βουλομένῳ σε γενέσθαι κοινωνόν Bas.*inst.ascet*.2(2.200E; M.31.624A); **4.** of victors in spiritual warfare, ref. Const.'s title ν. δὲ ἡδονῶν...ν. ἐτύμως ὁ τὴν νίκην τῶν καταπαλαιόντων θνητὸν γένος παθῶν ἀράμενος Eus.*l.C*.5(p.204.16; M.20.1336C); of writers as conquerors of opposing vices, Gr.Nyss.*v.Mos*.(M.44.332A); *Const.App*. 2.14.6; Ἰὼβ ν. τοῦ...ὄφεως *Lit*.ap.*Const.App*.8.12.23.

νικητικός, *of victory, victorious* ν. τρόπαιον Eus.*l.C*.6(p.212.6; M. 20.1352A); Thdr.Stud.*epp*.1.22(M.99.977A); ἀπόλλυσι τὸ παρθενικὸν μέρος τὸν ν. στέφανον *ib*.1.50(1096B); neut. as subst. τὸ...κατὰ τῶν ἐχθρῶν ν. Eus.*p.e*.1.4(10A; M.21.36D).

νικητικῶς, *as a victor* ν. στεφανοῦντές σε Isid.Pel.*epp*.1.75(M.78.236A).

νικηφόρος, A. *victorious*; **1.** in gen., of Const. πανταχοῦ...ν. ὁ βασιλεὺς ἀνεδείκνυτο Thdt.*h.e*.1.25.13(3.812); of Ath., *ib*.1.30.11 (820); **2.** of Christ κάλλιστον θέαμα τῷ πατρὶ υἱὸς ἀΐδιος ν. Clem. *prot*.12(p.85.23; M.8.244A); διὰ ξύλου ν. εὑρίσκεται Hipp.*cant.Mos*. (p.83.15; M.10.612A); ὁ στρατηλάτης ἡμῶν ὁ ἅγιος καὶ ν. *A.Thom*.A 39(p.157.11); πορεύεται ν. καὶ τροπαιοφόρος μετὰ τοῦ ἐκ νεκρῶν ἀναστάντος σώματος Or.*Jo*.6.56(37; p.164.29; M.14.297B); ἐπειδὴ κατάρας ἦν ἡ ἄκανθα γεώργιον, ἣν ἡ γῆ κατεδικάσθη μετὰ τὴν...παράβασιν,...τούτου χάριν ἀκάνθας ὡς ν. ἐστεφανώσατο, ὥσπερ οἱ δόκιμοι ποιοῦσι τῶν νικητῶν, αὐτὸ τὸ ὅπλον...θριαμβεύοντες, δι' οὗ τὴν νίκην εἰργάσαντο Isid.Pel.*epp*.1.95(M.78.248C); ref. Ascension ὡς ἐν θριάμβῳ ν. ἀναφερόμενος Cosm.Ind.*top*.2(M.88.121D); **3.** of Christians as included in Christ's victory, Or.*schol.in Cant*.7:1(M.17.281A); **4.** of martyrs, *Ep.Lugd*.ap.Eus.*h.e*.5.1.55(M.20.429B); Eus. *h.e*.8.6.4(752C); Gr.Naz.*carm*.1.2.10.743(M.37.734A); τὸν ν. ἀγωνιστήν [sc. Petr. I Al.] Thdt.*h.e*.1.2.8(3.725); *ib*.3.10.2(923); of S. Paul γενναίου...παλαιστοῦ καὶ ν. Isid.Pel.*epp*.1.212(M.78.317A); **5.** of victors in spiritual warfare, likened to victorious athletes, Clem.*str*. 2.20(p.173.16; M.8.1056A); id.*ecl*.28(p.145.23; M.9.713A); id.*q.d.s*.3 (p.162.7; M.9.608B); Didym.*Trin*.3.1(M.39.776C); ἡμᾶς ἄγγελοι νικηφόρους ἰδόντες Mac.Mgn.*apocr*.2.7(p.5.9); **6.** of Church ἐκκλησίαν ...ν. ... πάσης τῆς τῶν ἑτεροδόξων ἀσεβεστάτης ἐπαναστάσεως Alex. Al.*ep.Alex*.53(p.28.12; M.18.568C); **7.** of things ν. ... βοαῖς Meth. *symp*.11(p.135.2; M.18.212A); ν. εἰκόνας καὶ στήλας Chrys.*exp.in Ps*. 3(5.1A); ν. ... στεφάνοις Thdt.*Ps*.50:7(1.937); ν. τέλος Eustrat.*stat. anim*.11(p.398).

B. as subst., *victor*, Geo.Pis.*Heracl*.1.217(M.92.1315A).

***Νικολαΐτης, ὁ,** *Nicolaitan*, member of licentious early Gnost. sect said by some to have been founded by Nicolas of Antioch (Ac.6:5), cf.Apoc.2:6,15; cf. *Nicolaitae autem magistrum habent Nicolaum unum ex vii..., qui indiscrete vivunt. plenissime...per ...Apocalypsim manifestantur qui sint, nullam differentiam esse docentes in moechando, et idolythyton edere*, Iren.*haer*.1.26.3(M.7.687A); ass. Cerinthus, cf.*ib*.3.11.1(880A); οἱ φάσκοντες ἑαυτοὺς Νικολάῳ ἕπεσθαι, ἀπομνημόνευμά τι τἀνδρὸς φέροντες ἐκ παρατροπῆς τὸ δεῖν παραχρῆσθαι τῇ σαρκί Clem.*str*.2.20(p.177.2; M.8.1061B); sexual licentiousness, *ib*.3.4(p.207.18ff.; 1129B); Hipp.*haer*.7.36(p.223.7; M.16.3343B); ἡ λεγομένη τῶν Ν. αἵρεσις Eus.*h.e*.3.29.1(M.20.276C); ass. Barbeloite Gnostics and 'Προύνικος', Epiph.*haer*.25.2(pp.268–9; M.41.321C–324D); οἱ δὲ ἀναίδην ἐκπορνεύουσιν, οἷοι οἱ νῦν ψευδώνυμοι Ν. *Const.App*.6.8.2; φεύγετε καὶ τοὺς ἀκαθάρτους Ν., τοὺς ψευδωνύμους, τοὺς φιληδόνους, τοὺς συκοφάντας· οὐ γὰρ ἦν τοιοῦτος ὁ τῶν ἀποστόλων Νικόλαος ‡Ign.*Trall*.11; Thdt.*haer*.3.1(4.340).

***νικοποιέω,** *bring victory*, Ephr.3.372D.

νικοποιός, 1. of God; *causing, giving victory* τῷ ν. τε καὶ ἀγωνοθέτῃ τῆς νίκης ἀναθεὶς τὰς ἐλπίδας Gr.Nyss.*Eun*.3(2 p.1.15; M.45.573A); Epiph.*haer*.64.63(p.500.15; M.41.1177B); **2.** of Christ as giver of victory in spiritual warfare, ‡Meth.*palm*.1(M.18.384B); τροπαιοφόρος ἀθλητὴς...δεξιᾷ νικοποιῷ στεφθησόμενος Jo.Mon.*hymn. Geo*.9(M.96.1400D); **3.** of Cross βασιλεὺς [sc. Const.]...τῇ τοῦ ν. σταυροῦ ὁμολογίᾳ λαμπρυνόμενος Eus.*v.C*.1.41(p.26.27; M.20.956B); τὸ ν. ἀνεκήρυττεν σημεῖον id.*l.C*.9(p.219.13; M.20.1365A); Ἰακὼβ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου...ἐκμηνύων...τὸν ν. ... σταυρόν ‡Ath.*proph*.1(M.28.1064B); **4.** ref. Ps.4:1 tit. τοῦτον τὸν ψαλμὸν μετὰ τὸ νικῆσαι...ἀνατίθησι τῷ ν. ἀντὶ τοῦ, εἰς τὸ τέλος, ὁ Ἀκύλας καὶ ὁ Θεοδοτίων, τῷ ν., ἡρμήνευσαν· ὁ δὲ Σύμμαχος, ἐπινίκιον †Ath.*exp. Ps*.4:1(M.27.72B); Cyr.*Ps*.4:1(M.69.733A); Thdt.*Ps*.4:1(1.629).

νῖκος, τό, 1. *victory* (tr. לַמְנַצֵּחַ) ψαλμὸς τῷ Σαλομὼν εἰς ν. *Pss. Sal*.8.1; of BMV χαίροις τὸ ν. τοῦ βασιλέως τε καὶ θεοῦ Ephr.3.534F; **2.** εἰς ν. *utterly*, hence *for ever* (tr. נֶצַח), cf.*T.Dan* 5.10; ἄχρι τέλους τὴν αὐτὴν...ἐπιδειξάμενοι γνώμην· τὸ γάρ, ἐφύλαξεν εἰς ν., τοῦτο λέγει Thdr.Mops.*Am*.1:11–12(M.66.252D); interpreted as meaning *to victory*, Cyr.*Ps*.48:9–11(M.69.1069D); Olymp.*fr.Lam*.5:10(M.93.761B); cf.Meth.*res*.1.44(p.292.2; M.18.273A).

[*]**νικοφόρος,** for νικηφόρος, metri gr., *IGC As.Min*.104[Ephesus].

C. ref. spiritual life; **1.** God as object of the mind; **a.** ref. mind's capacity for knowing God ἔστιν οὖν...τῷ ν. ἡμῶν τοιαύτη τις καὶ τοσαύτη δύναμις, ἢ μὴ τὸ ὂν δι' αἰσθήσεως ἔλαβεν; ἢ τὸν θεὸν ἀνθρώπου ν. ὄψεταί ποτε μὴ ἁγίῳ πνεύματι κεκοσμημένος; φησὶ γὰρ Πλατών, ἦν δ' ἐγώ, αὐτὸ τοιοῦτον εἶναι τὸ τοῦ ν. ὄμμα καὶ πρὸς τοῦτο ἡμῖν δεδόσθαι, ὡς δύνασθαι καθορᾶν αὐτὸ ἐκεῖνο τὸ ὂν εἰλικρινεῖ αὐτῷ ἐκείνῳ Just.*dial.*4.1(M.6.481D–484A); τὸ...θεῖον ἀγένητον εἶναι καὶ ἀΐδιον, ν. μόνῳ καὶ λόγῳ θεωρούμενον Athenag.*leg.*4.1(M.6.897B); *ib.*10.1(908B); οἱ ὀφθαλμοὶ πρὸς τὰ ὁρατὰ καὶ ὦτα πρὸς τὰ ἀκουστά, οὕτω ν. πρὸς τὰ νοητὰ καὶ τὸν ἐπέκεινα τῶν νοητῶν θεόν Or.*mart.*47(p.43.7; M.11.629B); ὁ θεὸς καθ' ἡμᾶς τῷ μὲν μὴ εἶναι σῶμα ἀόρατός ἐστιν· τοῖς δὲ θεωρητικοῖς καρδίᾳ θεωρητός, τουτέστι νῷ id.*Cels.*6.69(p.139.11; M.11.1404A); τὸν μηκέτι σώματος ὀφθαλμοῖς μόνῳ δὲ νῷ διαυγεῖ καὶ καθαρῷ νοούμενον τὸν...θεοῦ λόγον Eus.*l.C.*11(p.226.22; M.20.1380D); τὴν ἑκάστου ψυχὴν εἶναι, καὶ τὸν ἐν αὐτῇ ν. δι' αὐτοῦ γὰρ μόνου δύναται θεὸς θεωρεῖσθαι καὶ νοεῖσθαι...οὐ γὰρ ἐχόντων ἔστι ν. ἀρνεῖσθαι τὸν τούτου ποιητὴν...θεόν Ath.*gent.*30(M.25.61A); **b.** ref. creation of mind κατ' εἰκόνα: καθαρὸς γὰρ ὢν...ὁ ν. δεκτικός πως ὑπάρχει τῆς τοῦ θεοῦ δυνάμεως, ἀνισταμένης ἐν αὐτῷ τῆς θείας εἰκόνος Clem.*str.*3.5(p.215.24; M.8.1145C); *ib.*5.14(p.388.16; M.9.140A) cit. s. εἰκών; Or.*Cels.*7.33(p.184.3; M.11.1468B); Eus.*p.e.*7.10(316C; M.21.536A); Bas.*ep.*233.1(3.355D; M.32.864C); τὸ δέ, 'κατ' εἰκόνα', ὡς ἐμοὶ δοκεῖ, νοητέον, ὅτι ἐκ τοῦ θεϊκοῦ φυσήματος τὸ πνεῦμα τὸ ἀθάνατον ἔχομεν, καὶ ν. ἀεὶ θεόντα, καὶ κυβερνῶντα, ἐφ' ὃ χρή Didym.*Trin.*2.7(M.39.565C); δέδωκεν ὁ θεὸς καὶ τῷ ἀνθρώπῳ τῷ ὑπ' αὐτοῦ κτισθέντι ἐν τῷ νοερῷ ταμείῳ τῆς ψυχῆς, τοῦτ' ἔστι τῷ νῷ, ἔχειν διὰ τῶν ἀρετῶν τὸ 'κατ' εἰκόνα αὐτοῦ καὶ ὁμοίωσιν' Gel.Cyz.*h.e.*2.15.9(M.85.1260B); **2.** mind and body; **a.** mind enslaved by senses, Clem.*paed.*2.1(p.157.7; M.8.385B); λύπαις καὶ ἡδοναῖς...συνδεσμοῦσι τὸν ν. τοῖς αἰσθητοῖς οἱ δαίμονες Thal.*cent.*2.17(M.91.1440A); ἡ πρὸς τὴν αἴσθησιν σχέσις τοῦ ν., δοῦλον αὐτὸν καθίστησι τῶν τοῦ σώματος ἡδονῶν *ib.*2.55(1444A); σαλεύεται ὁ ν. ἐκ τοῦ τόπου τῆς γνώσεως, ὅτε τὸ παθητικὸν αὐτοῦ κινηθῇ ἐκ τῶν ἰδίων ἀρετῶν *ib.*2.56(1444A); **b.** mind controlling senses ὅταν ὁ ν. πλουτήσῃ τὴν τῆς μονάδος γνῶσιν, τότε καὶ τὴν αἴσθησιν πάντῃ δεδουλωμένην ἔχει *ib.*2.47(1441C); ἀδύνατον τὸν ν. τῇ γνώσει ποιωθῆναι, εἰ μὴ πρότερον τὸ παθητικὸν ταῖς οἰκείαις ἀρεταῖς ἐξ αὐτοῦ πελάσει *ib.*2.50(1441D); **3.** mind and sin; **a.** mind's responsibility for sin οὐ γὰρ τὰ ὄργανά εἰσιν βλαστικά, ἀλλὰ ὁ ν. ὁ συγκαταβαίνων τῇ ἁμαρτίᾳ *A.Jo.*54(p.178.22); but cf. τὰ ὄργανα τὰ παιδογόνα ...βρίθοντα τὸν ν. Meth.*symp.*4.4(p.49.17; M.18.92A); **b.** mind obscured and coarsened by sin, *T.Reub.*3.8; ποία δὲ χείρων ταλαιπωρία τοῦ τετυφλῶσθαι τὸν ν. καὶ μὴ βλέπειν τὸν παντὸς ν. δημιουργόν; Or.*Cels.*8.38(p.253.19; M.11.1573D); καταπεπτώκασι τῇ διανοίᾳ καὶ ἐσκοτίσθησαν τὸν ν., ὥστε καὶ τὰ μηδ' ὅλως μηδαμῶς ὑπάρχοντα... θεοποιῆσαι Ath.*gent.*9(M.25.20A); τί βούλεται τοῖς δαίμοσι ἐνεργεῖν ἐν ἡμῖν γαστριμαργίαν, πορνείαν, φιλαργυρίαν...; ἵνα παχυνθεὶς ὁ ν. ἐξ αὐτῶν, μὴ δυνηθῇ ὡς δεῖ προσεύξασθαι Evagr.Pont.*or.*50(M.79.1177B); Marc.Er.*opusc.*2.72(M.65.941A); **c.** various faults ἀρχὴ πλάνης, νοῦ κενοδοξία, ἐξ ἧς κινούμενος ὁ ν., ἐν σχήματι καὶ μορφαῖς περιγράφειν πειρᾶται τὸ θεῖον Evagr.Pont.*or.*116(M.79.1193A); νοός ἐστι ἀκαθαρσία, πρῶτον μέν, τὸ γνῶσιν ἔχειν ψευδῆ· δεύτερον δέ, τὸ ἀγνοεῖν τι τῶν καθόλου· ὡς πρὸς ἀνθρώπινον ν. λέγω· ἀγγέλου γὰρ ἔστι τὸ μηδὲν τῶν ἐπὶ μέρους ἀγνοεῖν· τρίτον δέ, τὸ ἐμπαθεῖς ἔχειν λογισμούς· τέταρτον δέ, τὸ συγκατατίθεσθαι τῇ ἁμαρτίᾳ Max.*carit.*3.34(M.90.1028B); **d.** mind between good and evil τρεῖς οὖν εἰσιν οἱονεὶ βίων καταστάσεις· καὶ ἰσάριθμοι τούτοις, αἱ τοῦ ν. ἡμῶν ἐνέργειαι. ἡ γὰρ πονηρὰ ἡμῶν τὰ ἐπιτηδεύματα...οἷον μοιχεῖαι, κλοπαί, εἰδωλολατρίαι... ἡ μέση τίς ἐστι τῆς ψυχῆς ἡ ἐνέργεια, οὔτε κατεγνωσμένον τι ἔχουσα, οὔτε ἐπαινετόν·...ποία γὰρ κακία κυβερνητικῆς ἢ ἰατρικῆς...ὁ μέντοι τῇ θεότητι τοῦ πνεύματος ἀνακραθεὶς ν., οὗτος ἤδη τῶν μεγάλων ἐστὶ θεωρημάτων ἐποπτικός Bas.*ep.*233.1(3.356B,C; M.32.865B); ὁ ν. ἡμῶν μέσος ἐστὶ δύο τινῶν, ἑκάστου τὰ ἴδια ἐνεργοῦντος· τοῦ μέν, τὴν ἀρετήν· τοῦ δέ, τὴν κακίαν· τουτέστι ἀγγέλου καὶ δαίμονος. ἐξουσίαν δὲ ἔχει ὁ ν., καὶ δύναμιν ᾧ θέλει εἴτε ἕπεσθαι, εἴτε ἀντιστῆναι Max.*carit.*3.92(M.90.1045B); id.*cap.*2.35(M.90.1233C); Thal.*cent.*1.58(M.91.1433A); **4.** mind's way to perfection; **a.** struggle against temptation, Clem.*fr.*44(p.221.18,22); ὅταν μὴ δυνηθῇ τὴν μνήμην κινῆσαι ἐν τῇ προσευχῇ ὁ...δαίμων, τότε τὴν κρᾶσιν τοῦ σώματος ἐκβιάζεται εἰς τὸ ποιῆσαι ξένην τινὰ φαντασίαν τῷ νῷ Evagr.Pont.*or.*68(M.79.1181B); Marc.Er.*opusc.*2.68(M.65.940C); ὅταν ὁ ν. ἡμῶν ἄρξηται τῆς τοῦ ἁγίου πνεύματος αἰσθάνεσθαι παρακλήσεως, τότε καὶ ὁ σατανᾶς ἐν ἡδυφανεῖ τινι αἰσθήσει ἐν ταῖς νυκτεριναῖς ἡσυχίαις...τὴν ψυχὴν παρακαλεῖ. ἐὰν οὖν εὑρεθῇ ἐν θερμῇ μνήμῃ λίαν κρατῶν ὁ ν. τὸ ὄνομα τὸ ἅγιον τοῦ...Ἰησοῦ καὶ ὥσπερ ὅπλῳ κέχρηται κατὰ τῆς ἀπάτης...ἀναχωρεῖ μὲν ὁ πλάνος τοῦ δόλου...ὅθεν ἐπιγιγνώσκων ὁ ν. τὴν ἀπάτην τοῦ πονηροῦ πλέον εἰς τὴν πεῖραν προκόπτει τῆς διακρίσεως Diad.*perf.*31(p.34.18ff.); οὐ πρὸς τὰ πράγματα ὁ ν. πολεμεῖ τοῦ θεοφιλοῦς, οὐδὲ πρὸς τὰ τούτων νοήματα· ἀλλὰ πρὸς τὰ πάθη τὰ τοῖς νοήμασι συνεζευγμένα Max.*carit.*3.40(M.90.1028D); **b.** stages of progress ἀναβῆναι τῷ νῷ ἀπὸ ὁρατῶν καὶ πάντων αἰσθητῶν ἐπὶ τὸν ὅλων δημιουργόν Or.*Cels.*6.66(p.136.21; M.11.1400A); κἂν ὑπὲρ τὴν θεωρίαν τῆς σωματικῆς φύσεως ὁ ν. γένηται, οὔπω τέλεον τὸν τοῦ θεοῦ τόπον ἐθεάσατο· δύναται γὰρ ἐν τῇ τῶν νοητῶν εἶναι γνώσει, καὶ ποικίλλεσθαι πρὸς αὐτήν Evagr.Pont.*or.*57(M.79.1180A); ἡ θεαρχία τοὺς ἐν οἷς ἂν ἐγγένηται ν. ἀποκαθαίρει πρῶτον, εἶτα φωτίζει, καὶ φωτισθέντας ἀποτελειοῖ πρὸς θεοειδῆ τελεσιουργίαν Dion.Ar.*e.h.*5.1.7(M.3.508D); διὰ μὲν τῆς ἐργασίας τῶν ἐντολῶν, τὰ πάθη ὁ ν. ἀποδύεται· διὰ δὲ τῆς τῶν ὁρατῶν πνευματικῆς θεωρίας, τὰ ἐμπαθῆ τῶν πραγμάτων νοήματα. διὰ δὲ τῶν ἀοράτων γνώσεως, τὴν τῶν ὁρατῶν θεωρίαν· ταύτην δέ, διὰ τῆς γνώσεως τῆς ἁγίας τριάδος Max.*carit.*1.94(M.90.981B); *ib.*1.97–100(981D–984A); *ib.*3.97(1045D); threefold way in rel. to angelic hierarchies καθ' αὐτὸν ἕκαστος οὐράνιός τε καὶ ἀνθρώπειος ν. ἰδικὰς ἔχει καὶ πρώτας καὶ μέσας καὶ τελευταίας τάξεις τε καὶ δυνάμεις, πρὸς τὰς εἰρημένας τῶν καθ' ἕκαστον ἱεραρχικῶν ἐλλάμψεων οἰκείας ἀναγωγὰς ἀναλόγως ἐκφαινομένας, καθ' ἃς ἕκαστος ἂν μετουσίᾳ γίνεται κατὰ τὸ αὐτῷ θεμιτόν τε καὶ ἐφικτὸν τῆς ὑπεραγνοτάτης καθάρσεως, τοῦ ὑπερπλήρους φωτός Dion.Ar.*c.h.*10.3(M.3.273C); ascent from sensible to intellectual ὅταν δὲ ὁ ν. διὰ τῶν αἰσθητῶν ἀνακινεῖσθαι σπεύδῃ πρὸς θεωρητικὰς νοήσεις, τιμιώτεραι...εἰσὶν αἱ ἐπιδηλότεραι τῶν αἰσθήσεων διαπορθμεύσεις, οἱ σαφέστεροι λόγοι, τὰ τρανέστερα τῶν ὁρατῶν, ὡς ὅταν ἀτράνωτα ᾖ τὰ παρακείμενα ταῖς αἰσθήσεσιν, οὐδὲ αὐταὶ τῷ νῷ παραστῆσαι τὰ αἰσθητὰ καλῶς δυνήσονται id.*d.n.*4.11(M.3.708D–709A); **c.** qualities and virtues of progressing mind αἴσθησίς ἐστι νοὸς γεῦσις ἀκριβὴς τῶν διακρινομένων. ὃν γὰρ τρόπον τῇ γευστικῇ ἡμῶν αἰσθήσει τοῦ σώματος τὰ καλὰ ἐκ τῶν φαύλων ...διακρίνοντες τῶν χρηστῶν ὀρεγόμεθα, οὕτω καὶ ὁ ν. ἡμῶν, ὅταν εὐρώστως καὶ ἐν πολλῇ ἀμεριμνίᾳ κινεῖσθαι ἄρξοιτο, δύναται καὶ τῆς θείας παρακλήσεως πλουσίως αἰσθάνεσθαι καὶ ὑπὸ τῆς ἐναντίας μηδεπώποτε συναρπάζεσθαι Diad.*perf.*30(pp.33.24–34.2); τρεῖς ἀρεταί εἰσι προνοοῦσαι τοῦ ν. διὰ παντός, καὶ χρείαν αὐτῶν ἔχει. ἡ κατὰ φύσιν ὁρμή, καὶ ἡ ἀνδρεία, καὶ ἡ ἀοκνησία. τρεῖς εἰσιν ἀρεταὶ ἃς ἐὰν ἴδῃ ὁ ν. μετ' αὐτοῦ, πιστεύει ὅτι ἔφθασεν εἰς τὴν ἀθανασίαν. ἡ διάκρισις, τὸ ἀφορίσαι ἕκαστον ἀπ' ἀλλήλων, καὶ τὸ προβλέπειν πάντα πρὸ καιροῦ, καὶ τὸ μὴ συμπείθεσθαι μετά τινος ἀλλοτρίου. τρεῖς ἀρεταί εἰσιν ἐπιχορηγοῦσαι φῶς τῷ νῷ διαπαντός. τὸ μὴ εἰδέναι πονηρίαν τινὸς ἀνθρώπου, καὶ τὸ ἀγαθοποιῆσαι τοὺς κακοποιοῦντάς σε, τὸ ὑποφέρειν τὰ ἐπερχόμενα ἀταράχως...ὁ ν. χρῄζει τῶν τεσσάρων ἀρετῶν πάντοτε τούτων—τὸ εὔχεσθαι τῷ θεῷ προσπίπτοντα ἀδιαλείπτως, καὶ τὸ παραρίπτεσθαι ἐνώπιον τοῦ θεοῦ, καὶ τὸ ἀμεριμνῆσαι ἀπὸ παντὸς ἀνθρώπου τοῦ μὴ κρῖναι αὐτόν, καὶ τὸ κωφεῦσαι πρὸς τὰ λαλοῦντα αὐτῷ πάθη Esaias *or.*7.1(cf.M.40.1126Cff.); **d.** divine assistance, Just.*dial.*121.2(M.6.757B); λόγος ὁ ὑγιής, ὅς ἐστιν ἥλιος ψυχῆς, δι' οὗ μόνου ἔνδον ἀνατείλαντος ἐν τῷ βάθει τοῦ ν. αὐτῆς καταυγάζεται τὸ ὄμμα Clem.*prot.*6(p.52.16; M.8.173B); *ib.*11(p.79.32; 229C); τοῦ λόγου ...χειραγωγήσαντος τὸν τοῦ βουλομένου σώζεσθαι ν. πρὸς τὸν ἀγένητον ...θεόν Or.*Cels.*6.66(p.136.26; M.11.1400A); id.*or.*2.4(p.302.1; M.11.421A); πρὸς ὑποδοχὴν τοῦ νοητοῦ...σπέρματος, ὃ σπείρει μὲν αὐτὸς ὑπηχῶν καὶ καταφυτεύων ἐν τῷ βάθει τοῦ ν. Meth.*symp.*3.8(p.35.17; M.18.73A); *ib.*8.10(p.92.8; 153A); οἱ μὲν λοιποὶ διὰ τῆς ἀλλοιώσεως τοῦ σώματος ἐμποιοῦσι τῷ νῷ λογισμούς...ὁ δέ γε θεὸς τοὐναντίον δρᾷ, αὐτῷ τῷ νῷ ἐπιβαίνει, καὶ ἐντιθεὶς αὐτῷ γνῶσιν,...καὶ διὰ τοῦ ν. τὴν τοῦ σώματος ἀκρασίαν κατευνάζων Evagr.Pont.*or.*63(M.79.1180D); ἡ τοῦ λόγου νόησις, ἀρίδηλος τοῦ γεννήσαντος αὐτὸν ν. καθέστηκε γνῶσις, ὡς ἐν ἑαυτῷ δεικνύντος ὑφιστάμενον κατ' οὐσίαν τὸν ν., πρὸς ὃν ἀνάγει τὸν ἐφιέμενον τῆς πρὸς θεὸν κατὰ χάριν ταυτότητος νοῦν Max.*qu.Thal.*25(M.90.332Df.); **e.** ascent of the mind, exeg. 1Cor.11:3ff. τῷ τῆς ἀναγωγῆς προσβαίνοντες λόγῳ, φαμὲν ἄνδρα εἶναι τὸν πρακτικὸν ν., κεφαλὴν ἔχοντα τὸν λόγον τῆς πίστεως· πρὸς ὃν ὡς Χριστὸν ἀφορῶν...

τὸν οἰκεῖον συνίστησι βίον ὁ ν., μὴ καταισχύνων τὴν κεφαλὴν αὐτοῦ, τουτέστι τὴν πίστιν ib.(329D); rel. of mind to action γυναῖκα δὲ τοῦ... ν. εἶναί φαμεν, αὐτὴν τὴν ἕξιν τῆς πράξεως...κατακεκαλυμμένην πρακτικοῖς τε λογισμοῖς καὶ ἤθεσι· μᾶλλον δὲ αὐτὸν τὸν ν., ὡς κεφαλὴν ἰδίαν κατὰ τὴν τῶν τοιούτων λογισμῶν...πύκνωσιν...εὐπρέπειαν ἔχοντα κεκαλυμμένην ib.(332A); ἀνήρ ἐστιν ὁ τῆς φυσικῆς ἐν πνεύματι θεωρίας ἐπιμελούμενος ν., κεφαλὴν ἔχων τὸν κατὰ πίστιν ἐκ τῆς τῶν ὁρωμένων διακοσμήσεως γενεσιουργὸν τοῦ παντὸς λόγον διαδεικνύμενον...γυνὴ δὲ τοῦ τοιούτου ν. ἐστιν ἡ σύνοικος αἴσθησις, δι' ἧς ἐπιβατεύει τῇ φύσει τῶν αἰσθητῶν ib.(332A,B); πᾶς...πρακτικὸς ν. προσευχόμενος ἢ προφητεύων...μόνον ὁρᾶν ὤφειλε γυμνὸν τὸν τῆς πίστεως λόγον, μηδὲν ...ποιῶν κατὰ πρόσκλισιν ἐπικαλύπτων τὴν κεφαλήν...καὶ πᾶσα γυνή, τουτέστι πρακτικοῦ ν. ἕξις, προσευχομένη ἢ προφητεύουσα...ἄνευ λογικῆς διακρίσεως, καταισχύνει τὴν κεφαλὴν αὐτῆς...καὶ πᾶς ν. τὴν φυσικὴν ἀσκούμενος θεωρίαν, προσευχόμενος ἢ προφητεύων, κατὰ κεφαλῆς ἔχων, τουτέστι, γνωστικῶς τοὺς τῶν ὄντων λόγους ἐπιζητῶν, ἢ...ἄλλοις παραδιδοὺς...ἄνευ τοῦ κατ' εὐσέβειαν σκοποῦ, καταισχύνει τὴν κεφαλὴν αὐτοῦ...καὶ πᾶς ν. μυστικῆς...ἐραστὴς θεολογίας, προσευχόμενος ἢ προφητεύων, κατὰ κεφαλῆς ἔχων, τουτέστι ταῖς ἀδύτοις ἐμβατεύων...θεωρίαις...εἴ τινα μορφὴν σχοίη νοήσεως, τὸν ὑπὲρ νόησιν λόγον μυσταγωγούμενος...καταισχύνει τὴν κεφαλὴν αὐτοῦ ib.(333A–C); **5.** mind in prayer and contemplation; **a.** in gen. τῇ αὐξήσει τοῦ ν. ἐπὶ τὸ διορατικόν Or.*hom.11 in Lc.*(p.78.30); ib.27(p.171.11); βασιλείαν δὲ Χριστοῦ...θεωρήσας ὁ ν. πῶς οὐ καταφρονήσει...πάσης τῆς ἐπὶ γῆς βασιλείας; στρατιάν τε ἀγγέλων...ὡς χωρεῖ ὁ ἔτι δεδεμένος σώματι ἀνθρώπινος ν. id.*or.*17.2(p.339.22; M.11.472D); Evagr.Pont.*or.*83,84 (M.79.1185B); ὥσπερ ὁ ἄρτος τροφή ἐστι τῷ σώματι, καὶ ἀρετὴ τῇ ψυχῇ, οὕτω καὶ τοῦ ν. ἡ πνευματικὴ προσευχὴ τροφὴ ὑπάρχει ib.101 (1189B); ib.110(1192B); αἱ κατὰ φύσιν ἐφέσεις τῶν ν., ἐρωτικῶς ἀεὶ γλιχόμεναι τῆς ἐγχωρούσης τῶν ὑπερφυῶν θεωρίας Dion.Ar.*d.n.*3.3(M.3.684C); ἴδιον ἔργον ὑπάρχει τοῦ ν., τὸ λόγοις θεοῦ σχολάζειν ἀεί Thal.*cent.*1.30(M.91.1429D); κατὰ φύσιν ὁ ν. ἐνεργεῖ, ὅταν...τοὺς λόγους τῶν ὄντων θεωρῇ, καὶ πρὸς τὸν θεὸν διάγῃ Max.*carit.*4.45(M.90.1057C); **b.** mind as instrument of contemplation ἡ μέν [sc. ποιότης] τις τῆς ψυχῆς, καθ' ἣν τοιάδε ἐστίν, ἡ δέ τις τοῦ ν., καθ' ἣν τοιῶνδέ ἐστι θεωρητικός Or.*or.*24.2(p.353.25; M.11.492B); ἥκειν ἐπὶ τὴν εὐχήν...τὸν ν. πρὸς τὸν θεὸν ἐκτείναντα ib.31.2(p.396.4; 549C); δι' αὐτῆς [sc. ἀρετῆς] ὁδεύσας ὁ ν. τυχεῖν ὧν ὀρέγεται καὶ καταλαβεῖν δυνηθῇ, καθ' ὅσον ἐφικτόν ἐστι τῇ ἀνθρώπων φύσει περὶ τοῦ θεοῦ λόγου μανθάνειν Ath.*inc.*57.1(M.25.196C); Evagr.Pont.*or.*28(M.79.1173A) cit. s. εὐχή; cf. προσευχή ἐστιν ἀνάβασις νοῦ πρὸς θεόν ib.35(1173D); πρὸς θεωρητικὴν ἕξιν...ἐν...νοὸς ὀφθαλμοῖς ἀναγομένους Dion.Ar.*c.h.*3.3(M.3.165D); **c.** necessity of its purification ἀσκήσεσι καθαιρόμενος ὁ ν. τῶν ἐπικαλυπτόντων αὐτὸν ἀλλοίων διανοημάτων ὀξυδερκεῖ πρὸς τὴν ἀλήθειαν Meth.*symp.*9.4(p.118.13; M.18.185B); Ath.*gent.*2(M.25.8A) cit. s. ἄνω; Marc.Er.*opusc.*2.81(M.65.941B); ἀγωνίζου στῆσαι τὸν ν. σου, κατὰ τὸν καιρὸν τῆς προσευχῆς κωφόν, καὶ ἄλαλον Evagr.Pont.*or.*11 (M.79.1169C); ἡ καθαρθεῖσα πάσης ἀνιέρου κηλῖδος, καὶ πάναγνον ἐσχηκυῖα τὴν τοῦ οἰκείου ν. ἀκίνητον ἵδρυσιν, ἐπὶ τὴν θεωρητικὴν ἕξιν... μετάγεται Dion.Ar.*e.h.*6.1.2(M.3.532B); διὰ πολλὴν καθαρότητα νοῦ πρὸς θεοπτείαν ἐπιτηδειότατος id.*ep.*8.6(M.3.1097B); οἱ διὰ πολλὴν τῶν ἀρετῶν ἐπιμέλειαν, τῆς τῶν παθῶν αἰθάλης τὸν ν. ἐκκαθάραντες, ἐσόπτρου δίκην καθαροῦ...τὴν τῶν θείων ὑποδέχονται γνῶσιν Max.*qu.Thal.*65(M.90.737A); ὅτε ν. τελείως τῶν παθῶν ἐλευθερωθῇ, τότε καὶ ἐπὶ τὴν θεωρίαν τῶν ὄντων...ὁδεύει, ἐπὶ τὴν γνῶσιν τῆς ἁγίας τριάδος id.*carit.*1.86,87(M.90.980C); οὐ δυνήσῃ σωμάτων καὶ χρημάτων...ὑπέρτερον ποιῆσαι τὸν ν., εἰ μὴ ἐν τῇ καθαρᾷ τῶν δικαίων χώρᾳ εἰσάξῃς αὐτόν ‡Max.*cap.al.*118(M.90.1428A); **d.** effects of prayer on mind τὸ ἅγιον πνεῦμα συμπάσχον τῇ ἡμετέρᾳ ἀσθενείᾳ...εἰ εὕροι τὸν ν. ἡμῶν φιλαλήθως αὐτῷ προσευχόμενον, ἐπιβαίνει αὐτῷ Evagr.Pont.*or.*62(M.79.1180C); νοῦν δὲ λαμπρύνει προσευχὴ καθαρά Thal.*cent.*1.11(M.91.1429A); ῥώννυσι...ν. δὲ προσευχὴ καθαρά, καὶ θεωρία πνευματική ib.1.81(1436A); ν. διὰ προσευχῆς τῷ θεῷ ἐγχρονίζων, καὶ τὸ παθητικὸν τῆς ψυχῆς τῶν παθῶν ἀπαλλάττει ib.1.94(1436D); **e.** mystic union as surpassing capacities of mind δέον εἰδέναι τὸν καθ' ἡμᾶς ν., ἔχειν τὴν μὲν δύναμιν εἰς τὸ νοεῖν, δι' ἧς τὰ νοητὰ βλέπει, τὴν δὲ ἕνωσιν ὑπεραίρουσαν τὴν τοῦ ν. φύσιν, δι' ἧς συνάπτεται πρὸς τὰ ἐπέκεινα ἑαυτοῦ Dion.Ar.*d.n.*7.1(M.3.865C); εἰς τὸν ὑπὲρ νοῦν εἰσδύνοντες γνόφον id.*myst.*3(M.3.1033B); εἴ τις ἰδὼν θεόν, συνῆκεν ὃ εἶδεν, οὐκ αὐτὸν ἑώρακεν...αὐτὸς δὲ ὑπὲρ νοῦν ὑπεριδρύμενος...καὶ ὑπὲρ ν. γινώσκεται id.*ep.*1(M.3.1065A); **6.** perfect mind; **a.** separated from sensible world and passions, Evagr.Pont.*or.*61(M.79.1180C); ὁ ν. εἰς ἄκρον καθαρθεὶς στενοχωρεῖται τοῖς οὖσι· καὶ ἔξω θέλει γίνεσθαι πάντων τῶν γεγονότων Thal.*cent.*1.55(M.91.1433A); ὅταν ὁ ν. πλουτήσῃ τὴν τῆς μονάδος γνῶσιν, τότε καὶ τὴν αἴσθησιν πάντη δεδουλωμένην ἔχει ib.2.47(1441C); ἡ παντελὴς ἀπάθεια, καθ' ἣν γενόμενος ὁ ν. ἀναχωρεῖ τῶν ἐνταῦθα ib.2.90 (1445D); **b.** enjoying perfect knowledge ἔστιν...ἡ θειοτάτη τοῦ θεοῦ γνῶσις, ἡ δι' ἀγνωσίας γινωσκομένη, κατὰ τὴν ὑπὲρ νοῦν ἕνωσιν, ὅταν ὁ ν., τῶν ὄντων πάντων ἀποστάς, ἔπειτα καὶ ἑαυτὸν ἀφείς, ἑνωθῇ ταῖς ὑπερφαέσιν ἀκτῖσιν Dion.Ar.*d.n.*7.3(M.3.872B); Thal.*cent.*1.50(M.91.1432D); ν. παθῶν ἐλευθερωθείς, ψιλὰ βλέπει τὰ νοήματα, καὶ ἐγρηγορότος τοῦ σώματος, καὶ κατὰ τοὺς ὕπνους αὐτοῦ ib.1.54(1432D); τέλειός ἐστιν ὁ ν. ὁ ποιωθεὶς τῇ γνώσει ib.2.54(1444A); Max.*carit.*1.34(M.90.968A); τὸν καθαρὸν ν., ποτὲ μέν, αὐτὸς ὁ θεὸς αὐτῷ ἐπιβαίνων διδάσκει· ποτὲ δέ, αἱ ἅγιαι δυνάμεις τὰ καλὰ ὑποτίθενται· ποτὲ δέ, ἡ φύσις τῶν πραγμάτων θεωρουμένη ib.3.94(1045B); ν. ἐστι τέλειος, ὁ διὰ πίστεως ἀληθοῦς, τὸν ὑπεράγνωστον ὑπεραγνώστως ὑπερεγνωκώς ib.3.99 (1048A); εἰς ἑαυτὸν ὁ ν. συναγόμενος, οὐδὲν οὔτε τῶν κατὰ τὸν λογισμὸν θεωρεῖ· γυμνοὺς δὲ ν. καὶ θείας αὐγάς ‡Max.*cap.al.*111(M.90.1425A); **c.** in rel. to Christ and H. Ghost θεὸς δὲ δῷη μὴ ψιλῷ καὶ γυμνῷ θειότητος τῷ ἡμετέρῳ νῷ...⟨πρὸς⟩ τὸ προκείμενον γενέσθαι...ν. δὲ Χριστοῦ λαβόντες ἀπὸ τοῦ μόνου διδόντος αὐτὸν πατρὸς αὐτοῦ καὶ πρὸς τὴν μετοχὴν τοῦ λόγου τοῦ θεοῦ βοηθηθέντες Or.*Cels.*5.1(p.2.8,10; M.11.1181B); id.*mart.*4(p.5.18; M.11.568A); τὸν ἐν Χριστῷ κτισθέντα καὶ ἀνακαινισθέντα ν. ... ἀναλαβεῖν Ath.*ep.Serap.*1.9(M.26.553C); ὁ ν., ὅτε ἐπάνω τοῦ τῆς σαρκὸς καυχᾶται φρονήματος, δύναται γεύεσθαι τῆς παρακλήσεως ἁπλανῶς τοῦ ἁγίου πνεύματος Diad.*perf.*30(p.34.7); **d.** blessedness of mind in myst. prayer μακάριός ἐστιν ὁ ν., ὃς ἀπερισπάστως εὐχόμενος, πλείονα πόθον ἀεὶ πρὸς θεὸν προσλαμβάνει. μακάριός ἐστιν ὁ ν., ὁ κατὰ τὸν καιρὸν τῆς προσευχῆς ἄυλος καὶ ἀκτήμων γίνεται. μακάριός ἐστιν ὁ ν., ὁ κατὰ τὸν καιρὸν τῆς προσευχῆς τελείαν ἀναισθησίαν κτησάμενος Evagr.Pont.*or.*118–120(M.79.1193A,B); **e.** myst., exeg. 1Cor.11:3 ἀνήρ ἐστιν ὁ τῆς μυστικῆς θεολογίας ἐντὸς γενόμενος ν., κεφαλὴν ἔχων ἀκατακάλυπτον τὸν Χριστόν· τουτέστι, τὸν ταῖς ἀναποδείκτοις μυσταγωγίαις ἀγνώστως νοούμενον...ὁ τὴν... ὑπερέχουσαν ἑαυτοῦ τε καὶ τῶν ὄντων...θεοποιὸν στέρησιν συνασκούμενος ν. γυνὴ δὲ τοῦ τοιούτου ν. ἐστιν, ἡ πάσης αἰσθητῆς φαντασίας καθαρεύουσα διάνοια, καθάπερ κεφαλὴν ἔχουσα τὸν ν. Max.*qu.Thal.*25 (M.90.332C,D); exeg. 1Cor.2:16 τουτέστι, τὰ ἐν τῷ νῷ Χριστοῦ ταῦτα ἡμεῖς ἴσμεν, καὶ ἅπερ αὐτὸς βούλεται καὶ ἀπεκάλυψεν. ... οὐ τοῦτο λέγων, ὅτι πάντα ἃ οἶδεν ἴσμεν, ἀλλ' ὅτι πάντα ἃ οἴδαμεν, οὐκ ἀνθρώπινα ...ἀλλὰ τοῦ ν. ἐκείνου καὶ πνευματικά. τὸν γὰρ ν., ὃν ἔχομεν περὶ τούτων, τοῦ Χριστοῦ ἔχομεν· τουτέστι, τὴν γνῶσιν...πνευματικὴν ἔχομεν. ... τὸν ἡμέτερον ν. τὸν περὶ τούτων, ἐκείνου λέγων εἶναι ν. ... 'ἡμεῖς δὲ ν. Χριστοῦ ἔχομεν'. τουτέστι, πνευματικόν, θεῖον, οὐδὲν ἀνθρώπινον ἔχοντα. οὐ γὰρ Πλάτωνος οὐδὲ Πυθαγόρου, ἀλλ' ὁ Χριστὸς τὰ ἑαυτοῦ τῇ ἡμετέρᾳ ἐνέθηκε διανοίᾳ Chrys.*hom.*7.5,6 *in 1Cor.*(10.58B–E).

D. human mind in life after death; **1.** its perfect illumination ἐν φωτὶ τῷ ἀληθινῷ καὶ ἀλήκτῳ τῆς γνώσεως τὸν ν. καταλαμπόμενοι πρὸς τὴν θέαν τῶν δι' ἐκείνου τοῦ φωτὸς θεωρεῖσθαι πεφυκότων Or.*mart.*47 (p.43.16; M.11.632A); id.*or.*25.2(p.358.11; M.11.497B); τῆς δὲ νοητῆς αὐτοῦ [sc. of God] φωτοδοσίας ἐν ἀπαθεῖ καὶ ἀΰλῳ τῷ νῷ μετέχοντες, καὶ τῆς ὑπὲρ νοῦν ἑνώσεως ἐν ταῖς τῶν ὑπερφανῶν ἀκτίνων ἀγνώστοις ...ἐπιβολαῖς, ἐν θειοτέρᾳ μιμήσει τῶν ὑπερουρανίων ν. Dion.Ar.*d.n.*1.4 (M.3.592C); ib.1.5(593C,D); **2.** condemnation of Origenist teaching εἴ τις λέγει, ὅτι ἡ μέλλουσα κρίσις ἀναίρεσιν παντελῆ τῶν σωμάτων σημαίνει· καὶ ὅτι τέλος ἐστὶ τοῦ μυθευομένου ἡ ἄυλος φύσις...γυμνὸς ὁ ν.· ἀ. ἔ. CCP(543)*anath.*11.

E. of angelic intelligences; **1.** νοῦς as name of angelic powers τῶν οὐρανίων ν. ἱεραρχίας Dion.Ar.*c.h.*1.2(M.3.121A); ib.1.3(124A); ν. καλοῦσι καὶ οἱ παρ' Ἕλλησι φιλόσοφοι τὰς νοεράς, ἤτοι ἀγγελικὰς δυνάμεις· ἐπειδὴ τὸ πᾶν ν. ἐστιν ἕκαστος αὐτῶν, καὶ τὴν οὐσίαν ἅπασαν ν. ζῶντα εἰς τὸ εἶδος τὸ ἑαυτῶν οὐσιωμένον ἔχει Max.*schol.c.h.*1.2(M.4.32A,B); **2.** their hierarchical orders and divisions εἰς τρία διῄρηνται τῷ κατ' αὐτοὺς ὑπερκοσμίῳ λόγῳ πάντες θεῖοι ν., εἰς οὐσίαν, καὶ δύναμιν, καὶ ἐνέργειαν Dion.Ar.*c.h.*11.2(M.3.284D); ib.13.3(301D); **3.** their intellectual processes αἱ μὲν [sc. angelic powers] ὡς ν., νοοῦσαι κατὰ τὸ αὐταῖς θεμιτόν· ἡμεῖς δὲ αἰσθηταῖς εἰκόσιν ἐπὶ τὰς θείας, ὡς δυνατόν, ἀναγόμεθα θεωρίας Dion.Ar.*e.h.*1.2(M.3.373B); ἡ...τῶν ὑπερκοσμίων ν. γνῶσις ἀκάματός τέ ἐστι, καὶ ἀκατάληκτον ἔχει τὸν θεῖον ἔρωτα ib.4.3.5(480C); κινεῖσθαι μὲν οἱ θεῖοι λέγονται νόες, κυκλικῶς μὲν ἑνούμενοι ταῖς ἀνάρχοις καὶ ἀτελευτήτοις ἐλλάμψεσι τοῦ καλοῦ καὶ ἀγαθοῦ· καὶ εὐθεῖαν δέ, ὁπόταν προΐωσιν εἰς τὴν τῶν ὑφειμένων πρόνοιαν, εὐθείᾳ τὰ πάντα περαίνοντες· ἑλικοειδῶς δέ, ὅτι καὶ προνοοῦντες τῶν καταδεεστέρων, ἀνεκφοιτήτως ἐν ταὐτότητι περὶ τὸ τῆς ταὐτότητος αἴτιον καλὸν καὶ ἀγαθόν, ἀκαταλήκτως περιχορεύοντες id.*d.n.*4.8(M.3.704D).

F. God and mind; **1.** God as Νοῦς: Πλάτων τὸν τῶν ἰδεῶν θεωρητικὸν θεὸν ἐν ἀνθρώποις ζήσεσθαί φησι· ν. δὲ χώρα ἰδεῶν, ν. δὲ ὁ θεός Clem.*str.*4.25(p.317.11; M.8.1364C); ὁ θεός, ν. ἀΐδιος ὤν Athenag.*leg.*10.2(M.6.900A); οὐκ ἄφρων ὁ τῶν ὅλων πέφυκεν ν. †Just.*fr.res.*8 (p.45; M.6.1585B); ὁ ν. ὁ ὑπερύψωτος ἐν τῇ αὐτοῦ δόξῃ *A.Phil.*132

(p.63.17); νοῦν...ἢ ἐπέκεινα νοῦ καὶ οὐσίας λέγοντες εἶναι...τὸν τῶν ὅλων θεόν, οὐκ ἐν ἄλλῳ τινὶ ἢ τῷ κατὰ τὴν ἐκείνου τοῦ ν. εἰκόνα γενομένῳ φήσομεν καταλαμβάνεσθαι τὸν θεόν Or.*Cels*.7.38(p.188.11ff.; M.11.1473B); μονὰς εἶ μονάδων...ν. καὶ νοερός Synes.*hymn*.3.177(p.12; M.66.1596A); God called ν. ἀνόητος, Dion.Ar.*d.n*.1.1(M.3.588B); ὁ θεῖος ν. πάντα συνέχει τῇ πάντων ἐξῃρημένῃ γνώσει, κατὰ τὴν πάντων αἰτίαν ἐν ἑαυτῷ τὴν πάντων εἴδησιν προειληφώς...οὐ γὰρ ἐκ τῶν ὄντων τὰ ὄντα μανθάνων, οἶδεν ὁ θεῖος ν., ἀλλ' ἐξ αὐτοῦ, καὶ ἐν αὐτῷ...οὐ κατ' ἰδέαν ἑκάστοις ἐπιβάλλων, ἀλλὰ κατὰ μίαν τῆς αἰτίας περιοχὴν τὰ πάντα εἰδὼς καὶ συνέχων *ib*.7.2(869A); *ib*.(869C); Max.*schol.d.n*.5.6(M.4.320B); in rel. to εἰκών in man νοερὸς γὰρ ὁ λόγος τοῦ θεοῦ, καθ' ὃ ὁ τοῦ ν. εἰκονισμὸς ὁρᾶται ἐν μόνῳ τῷ ἀνθρώπῳ...τὸ γὰρ εἶδος ἑκάστου ὁ ν., ᾧ χαρακτηριζόμεθα Clem.*str*.6.9(p.468.5ff.; M.9.293B); **2.** Father as ν.; Son as Logos ὁ θεὸς δὲ ἄναρχος...ἀρχῆς ποιητικός. ᾗ μὲν οὖν ἐστιν οὐσία...ᾗ δ' αὖ ἐστι ν., τοῦ λογισμοῦ καὶ κριτικοῦ τόπου· ὅθεν καὶ διδάσκαλος μόνος ὁ λόγος, υἱὸς τοῦ ν. πατρός, ὁ παιδεύων τὸν ἄνθρωπον Clem.*str*.4.25(p.320.18f.; M.8.1372B); δύναται...ὁ λόγος ὁ υἱὸς εἶναι παρὰ τὸ ἀπαγγέλλειν τὰ κρύφια τοῦ πατρός...ἀνάλογον τῷ καλουμένῳ υἱῷ λόγῳ νοῦ τυγχάνοντος. ὡς γὰρ ὁ παρ' ἡμῖν λόγος ἄγγελός ἐστι τῶν ὑπὸ τοῦ ν. ὁρωμένων, οὕτως ὁ τοῦ θεοῦ λόγος...ἀποκαλύπτει ὃν ἔγνω πατέρα Or.*Jo*.1.38(42; p.49.5f.; M.14.100A); αὐτοῦ τοῦ πρώτου ν. λόγος ἔμψυχος ὤν Gr.Thaum.*pan.Or*.4(p.9.14; M.10.1061B); πηγὴ τῶν ἀγαθῶν...ὁ θεός· ποταμὸς δὲ ὑπ' αὐτοῦ προχεόμενος ὁ υἱὸς ἀναγέγραπται. ἀπόρροια γὰρ νοῦ λόγος καί, ὡς ἐπ' ἀνθρώπων εἰπεῖν, ἀπὸ καρδίας διὰ στόματος ἐξοχετεύεται, ἕτερος γινόμενος τοῦ ἐν καρδίᾳ λόγου ὁ διὰ γλώσσης ν. προπηδῶν...ὡς γὰρ ὁ ἡμέτερος ν. ἐρεύγεται μὲν ἀφ' ἑαυτοῦ τὸν λόγον...καὶ ἔστι μὲν ἑκάτερος ἕτερος θατέρου...ὁ μὲν ἐν τῇ καρδίᾳ, ὁ δὲ ἐπὶ τῆς γλώττης...οἰκῶν...οὐδέ ἐστιν οὔτε ὁ ν. ἄλογος οὔτε ἄνους ὁ λόγος, ἀλλ' ὅ γε ν. ποιεῖ τὸν λόγον ἐν αὐτῷ φανεὶς καὶ ὁ λόγος δείκνυσι τὸν ν. ἐν αὐτῷ γενόμενος, καὶ ὁ μὲν ν. ἐστιν οἷον λόγος ἐγκείμενος, ὁ δὲ λόγος ν. προπηδῶν· καὶ μεθίσταται μὲν ὁ ν. εἰς τὸν λόγον, ὁ δὲ λόγος τὸν ν. εἰς τοὺς ἀκροατὰς ἐγκυκλεῖ. καὶ οὕτως ὁ ν. διὰ τοῦ λόγου ταῖς τῶν ἀκουόντων ψυχαῖς ἐνιδρύεται συνεισιὼν τῷ λόγῳ· καὶ ἔστιν ὁ μὲν οἷον πατὴρ ὁ ν. τοῦ λόγου ὢν ἐφ' ἑαυτοῦ, ὁ δὲ καθάπερ υἱὸς ὁ λόγος τοῦ ν., πρὸ ἐκείνου μὲν ἀδύνατον ἀλλ' οὐδὲ ἔξωθέν ποθεν σὺν ἐκείνῳ γενόμενος, βλαστήσας δὲ ἀπ' αὐτοῦ. οὕτως ὁ πατήρ, ὁ...καθόλου ν. πρῶτον τὸν υἱὸν λόγον...ἔχει Dion.Al.ap.Ath.*Dion*.23(p.63.7ff.; M.25.513B–516A); *ib*.24(p.64.12; 516B); εἰ...λόγου προϊόντος παρὰ ἀνθρώπων, ἐνθυμούμεθα τὴν τούτου πηγὴν εἶναι τὸν ν., καὶ τῷ λόγῳ ἐπιβάλλοντες, τὸν ν. σημαινόμενον ὁρῶμεν τῷ λογισμῷ· πολλῷ πλέον μείζονι φαντασίᾳ...τοῦ λόγου τὴν δύναμιν ὁρῶντες, ἔννοιαν λαμβάνομεν καὶ τοῦ...πατρὸς αὐτοῦ Ath.*gent*.45(M.25.89A); ὥσπερ δὲ ἐπὶ τοῦ καθ' ἡμᾶς παραδείγματος ὁ μὲν ἀόρατος...ἐν ἡμῖν ν., ὃν ὅστις...ὢν...οὐδεὶς πώποτε ἀνθρώπων ἔγνω, βασιλεὺς...ἐν ἀπορρήτοις εἴσω τοῖς αὐτοῦ ταμείοις καθιδρυμένος τὰ πρακτέα βουλεύεται, λόγος δ' ἐξ αὐτοῦ πρόεισι μονογενής...οἱ μὲν τῆς ἐκ τοῦ λόγου μεταλαμβάνουσιν ὠφελείας, τὸν δ' ἀφανῆ...ν., τὸν τοῦ λόγου πατέρα, οὐδεὶς πώποτε εἶδεν ὀφθαλμοῖς· κατὰ ταῦτα δὴ μᾶλλον δὲ ἐπέκεινα πάσης εἰκόνος...ὁ τοῦ παμβασιλέως θεοῦ...λόγος Eus.*theoph*.(p.3*.3ff.; M.24.609A); id.*e.th*.2.17(p.121.1ff.; M.24.937D–940A); μίαν...φύσιν θεότητος, ἀνάρχῳ, καὶ γεννήσει, καὶ προόδῳ γνωριζομένην, ὡς νῷ τῷ ἐν ἡμῖν, καὶ λόγῳ, καὶ πνεύματι Gr.Naz.*or*.23.11(M.35.1161C); γεννᾷ μὲν ὁ ν. τὸν λόγον, συμπρόεισι δὲ τῷ λόγῳ πνεῦμα...ταῦτα ὡς ἐν εἰκόνι πρόσεστι τῷ ἀνθρώπῳ Thdt.*qu*.20 *in Gen*.(1.28); τὸν γὰρ ν. τοῦ παντοκράτορος, ὡς αἴτιον πάντων, πατέρα ὀνομάζομεν· τὸν δὲ λόγον, ὡς ἀπὸ τοῦ ν. γενόμενον, υἱὸν...προσαγορεύομεν· τὸ δὲ πνεῦμα τὸ ἅγιον ὡς ἐκ τοῦ ν. ἐκπορευόμενον...πνεῦμα ὀνομάζομεν †Gregent.*disp*.(M.86.625B); ν. Χριστοῦ τὸν πατέρα καλεῖ. ἔχομεν, φησίν, ἐν ἑαυτοῖς τὸν τοῦ Χριστοῦ πατέρα...ν. γὰρ τὸν πατέρα λέγειν ἔθος τοῖς ἁγίοις, ὡς Γρηγόριος· καὶ νῷ καὶ λόγῳ καὶ πνεύματι τῇ μιᾷ συμφυΐᾳ καὶ θεότητι Oecum.*1Cor*.2:16(pp.432.23–433.1); exeg. 1Cor.11:3 κεφαλὴ δὲ Χριστοῦ, τουτέστι τοῦ κατὰ πίστιν διὰ τῆς κατὰ φύσιν τῶν γεγονότων θεωρίας...δημιουργικοῦ λόγου ἐστίν, ὁ κατ' οὐσίαν αὐτὸν γεννῶν ἀπόρρητος ν. ... κεφαλὴ δὲ Χριστοῦ, τουτέστι τοῦ καθ' ὑπεροχὴν μυστικῶς ἀποπεφασμένου λόγου, ἐστὶν ὁ...ἀπείρως ἐξῳκισμένος ν.· ὃν ὡς φύσει ὁ λόγος ὑπάρχων ὁ Χριστὸς νοούμενος, ποιεῖ γνωστὸν τοῖς ἀξίοις Max.*qu.Thal*.25(M.90.332B–D); **3.** Son as νοῦς; **a.** in gen. ν. ... τοῦ πατρὸς ὁ υἱὸς τοῦ θεοῦ Athenag.*leg*.10.2(M.6.909A); πρὸ γάρ τι γίνεσθαι τοῦτον [sc. λόγον] εἶχε σύμβολον, ἑαυτοῦ ν. καὶ φρόνησιν ὄντα Thphl.Ant.*Autol*.2.22(M.6.1088B); τὸ δὲ πᾶν πατήρ, ἐξ οὗ δύναμις λόγος· οὗτος δὲ ν., ὃς προβὰς ἐν κόσμῳ ἐδείκνυτο παῖς θεοῦ Hipp.*Noët*.11(p.253.12; M.10.817C); νοηθῆναι θέλω ν. ὢν ὅλος *A.Jo*.95(p.198.2); ὁ σταυρὸς οὗτος ὁ τοῦ φωτὸς ποτὲ μὲν λόγος καλεῖται ὑπ' ἐμοῦ δι' ὑμᾶς, ποτὲ δὲ ν., ποτὲ δὲ Ἰησοῦς *ib*.98(p.200.6); αὐτὸς Ἰησοῦς ὁ θεαρχικώτατος ν. Dion.Ar.*e.h*.1.1(M.3.372A); **b.** λόγος in rel. to νοῦς: ὥσπερ ὁ ν., δι' ὅλου τοῦ ἀνθρώπου ὤν, ἀπὸ μέρους τοῦ σώματος, τῆς γλώττης λέγω, σημαίνεται, καὶ οὐ δήπου τις ἐλαττοῦσθαι τὴν οὐσίαν τοῦ ν. διὰ τοῦτο λέγει· οὕτως ὁ λόγος, διὰ πάντων ὤν, εἰ ἀνθρωπίνῳ κέχρηται ὀργάνῳ, οὐκ ἀπρεπὲς ἂν φαίνοιτο τοῦτο Ath.*inc*.42.7(M.25.172A); **c.** Origenist teaching condemned ἕνα δὲ ν. ἐκ πάσης τῆς δῆθεν ἑνάδος τῶν λογικῶν ἀκίνητον μεῖναι...ὃν Χριστὸν καὶ βασιλέα γεγονότα πάντων τῶν λογικῶν παραγαγεῖν πᾶσαν τὴν σωματικὴν φύσιν CCP(543)*anath*.6; εἴ τις λέγει, ὅτι οὐχ ὁ λόγος τοῦ θεοῦ σαρκωθεὶς σαρκὶ ἐμψυχωμένῃ ψυχῇ λογικῇ...κατελήλυθεν εἰς τὸν ᾅδην ...ἀλλ' ὁ παρ' αὐτοῖς λεγόμενος ν., ὃν ἀσεβοῦντες λέγουσι κυρίως Χριστόν...ἀ. ἔ. *ib*.9; *ib*.12.

G. Christol.; **1.** arguments of Apoll. against Christ's having a human ν.; **a.** trichotomy of man ἀπόδειξιν [sc. of Apoll.]...τοῦ συνιστάναι τὸν ἄνθρωπον ἀπὸ σαρκός τε καὶ ψυχῆς καὶ ν., ἅπερ οὐ πόρρω τοῦ καθ' ἡμᾶς ἐστι λόγου Gr.Nyss.*Apoll*.8(M.45.1140B); Apoll.*fr*.25(p.210.24)*ib*.9(1140D); **b.** Logos as ν. ἔνσαρκος: εἰ μὴ ν. ἔνσαρκός ἐστιν ὁ κύριος, σοφία ἂν εἴη φωτίζουσα ν. ἀνθρώπου. αὕτη δὲ καὶ ἐν πᾶσιν ἀνθρώποις· εἰ δὲ ταῦτα, οὐκ ἦν ἐπιδημία θεοῦ ἡ Χριστοῦ παρουσία, ἀλλ' ἀνθρώπου γέννησις Apoll.*fr*.70(p.220.28f.)*ib*.36(1204C); εἰ μὴ ν. ἔνσαρκος γέγονεν ὁ λόγος, ἀλλὰ σοφία ἦν τῷ νῷ, οὐ κατέβη ὁ κύριος οὐδὲ ἐκένωσεν ἑαυτόν Apoll.*fr*.71(p.221.14)*ib*.37(1205C,1208A); as ν. οὐράνιος: ζῶν δὲ Χριστὸς σῶμα θεόπνουν καὶ πνεῦμα ἐν σαρκὶ θεϊκόν, ν. οὐράνιος Apoll.*fr*.155(p.249.4)ap.Leont.B.*Apoll*.(M.86.1964B); **c.** assumption of human ν. would introduce change into the Godhead πῶς...θεὸς ἄνθρωπος γίνεται μὴ μεταβληθεὶς ἀπὸ τοῦ εἶναι θεός, εἰ μὴ ν. ἐν ἀνθρώπῳ κατέστη; Apoll.*fr*.97(p.229.31)ap.Gr.Nyss.*Apoll*.56(M.45.1260C); Apoll.*fr*.151(p.247.30)ap.*Doct.Patr*.41(p.307.12) cit. s. αὐτοκίνητος; **d.** would affect the completeness of Inc. εἰ μετὰ τοῦ θεοῦ...ν. ὄντος καὶ ἀνθρώπινος ἦν ἐν Χριστῷ ν.—οὐκ ἄρα ἐπιτελεῖται ἐν αὐτῷ τὸ τῆς σαρκώσεως ἔργον· εἰ δὲ μὴ ἐπιτελεῖται τὸ τῆς σαρκώσεως ἔργον ἐν τῷ αὐτοκινήτῳ καὶ μὴ ἀναγκαστῷ ν., ἐν τῇ ἑτεροκινήτῳ καὶ ὑπὸ τοῦ θείου ν. ἐνεργουμένῃ σαρκὶ τελεῖται τὸ ἔργον, ὅ ἐστι λύσις ἁμαρτίας· μεταλαμβάνει δὲ τῆς λύσεως ὁ ἐν ἡμῖν αὐτοκίνητος ν., καθ' ὅσον οἰκειοῖ ἑαυτὸν Χριστῷ Apoll.*fr*.74(p.222.7ff.)ap.Gr.Nyss.*Apoll*.38(M.45.1209C); **e.** assumption of flesh alone necessary for salvation, Apoll.*fr*.76(p.222.21ff.)*ib*.40(1213C) cit. s. ἐπιστημοσύνη; **f.** in confession of faith ὁμολογοῦμεν οὐκ εἰς ἄνθρωπον ἅγιον ἐπιδεδημηκέναι τὸν τοῦ θεοῦ λόγον ὅπερ ἦν ἐν προφήταις, ἀλλ' αὐτὸν τὸν λόγον σάρκα γεγενῆσθαι μὴ ἀνειληφότα ν. ἀνθρώπινον, ν. τρεπόμενον καὶ αἰχμαλωτιζόμενον λογισμοῖς ῥυπαροῖς, ἀλλὰ θεῖον ὄντα ν. ἄτρεπτον οὐράνιον id.*ep.Diocaes*.2(p.256.5ff.)ap.Leont.B.*Apoll*.(M.86.1969D); **2.** orthodox reply; **a.** denies possibility of separating ν. from ψυχή: ὁ λογικὴν ψυχὴν εἰπών, καὶ διανοητικὴν ὡμολόγησεν· ἡ δὲ διάνοια, ν. κίνησίς ἐστι καὶ ἐνέργεια. πῶς ἂν ὁ ν. μὴ παρὼν ἐνεργήσειεν, εἴπερ ἀμέτοχον τοῦ ν. τὴν τοῦ κυρίου ψυχὴν διορίζοιντο; Gr.Nyss.*Apoll*.29(M.45.1188C); **b.** denies possibility of ν. ἔνσαρκος: λέγω ν. ἔνσαρκον ὄντα τὸν υἱὸν ἐκ γυναικὸς τεχθῆναι· οὐκ ἐν τῇ παρθένῳ σάρκα γενόμενον, ἀλλὰ παροδικῶς δι' αὐτῆς διεξελθόντα...σάρκινον ὄντα θεόν, ἢ καθὼς αὐτὸς ὀνομάζει, ἔνσαρκον ν. *ib*.24(1173B); εἰ γὰρ ὡς ἀληθὲς προτείνεται τό, εἰ μὴ ν. ἐστιν ἔνσαρκος, σοφία ἂν εἴη· ἀληθὲς καὶ τὸ ἐκ τοῦ ἀντιστρόφου ἀναφαινόμενον, ὅτι εἰ σοφία ἐστί, ν. ἔνσαρκος οὐκ ἔστιν. ἀλλὰ μὴν σοφίαν εἶναι τὸν Χριστόν, πᾶς ὁ παραδεξάμενος τὴν πίστιν συντίθεται. ἄρα κατὰ τὴν τοῦ σοφοῦ πρότασιν, τὸ μὴ εἶναι αὐτὸν ν. ἔνσαρκον ὁμολογεῖται *ib*.36(1204B); *ib*.37(1205D); denies ν. ἐπουράνιος: εἰ γὰρ ἕτερός ἐστιν ὁ Χριστὸς παρὰ τὸν ἐπουράνιον ν. τὸν ἐν αὐτῷ γενόμενον, τέλειος δὲ καὶ ὁ ν., δύο ἄρα καθ' ὑμᾶς...ν. δὲ ἐπουράνιον καὶ οἱ προφῆται ἐσχήκασιν, οἱ τὰ ἐπουράνια...λαλήσαντες ‡Ath.*Apoll*.1.13(M.26.1116C); cf.*ib*.1.2(1096B); *ib*.1.16(1121B); *ib*.2.16(1157Df.); **c.** defence against Apollinarian allegation that orthodox teaching impairs divinity of Christ ἀλλά φησι λέγειν ἡμᾶς ὅτι ὁ σταυρωθεὶς οὐδὲν εἶχε θεϊκὸν ἐν τῇ ἑαυτοῦ φύσει...ὅ ἐστι πνεῦμα...εἰ γὰρ τὸ πνεῦμα ν. ὁ Ἀπολινάριος οἴεται, οὐδεὶς τῶν Χριστιανῶν λέγει τὸν ἀνακραθέντα τῷ θεῷ ἄνθρωπον ἥμισυν εἶναι,...οὐκοῦν οὐ πρὸς ἡμᾶς ἂν βλέποι ἡ λοιδορία, ὡς τὸν ἄνθρωπον ἐκεῖνον οὐκ ἔχοντα ἐν ἑαυτῷ τὸ πνεῦμα, ὅ ἐστιν ὁ ν., γεγενῆσθαι λέγοντας· ἀλλὰ πρὸς αὐτὸν ἐκεῖνον... τὸν τοῖς ἰδίοις ὀνείδεσιν ἡμᾶς βάλλοντα. ὁ γὰρ πνεῦμα τὸν ν. ὀνομάζων, μὴ ἔχειν δὲ ν. τὸν κατὰ Χριστὸν ἄνθρωπον λέγων, ἐκεῖνός ἐστιν, ὁ μὴ ἔχειν πνεῦμα κατασκευάζων τὸν κύριον Gr.Nyss.*Apoll*.27(M.45.1181B,C); **d.** Apollinarian argument would equate the divinity with ν., *ib*.38(1209A,B); πῶς οὖν λέγεις τέλειον γεγονέναι ἄνθρωπον [sc. Χριστόν];...ἐκ σαρκὸς καὶ ψυχῆς καὶ θεότητος ἀντὶ τοῦ νοῦ Epiph.*haer*.77.23(p.436.13; M.42.673C); **e.** assumption of flesh alone insufficient ἤρκει, φησίν, ἡ θεότης ἀντὶ τοῦ ν. ... θεότης γὰρ μετὰ σαρκὸς μόνης οὐκ ἄνθρωπος, ἀλλ' οὐδὲ ψυχῆς μόνης, οὐδὲ ἀμφοτέρων χωρὶς τοῦ ν. Gr.Naz.*ep*.101(M.37.184B); Ἀπολινάριος δὲ ἔμψυχον μὲν τὸ δεσποτικὸν σῶμα καλεῖ, τὸν δὲ ν. τῆς γεγενημένης σωτηρίας ἀποστερεῖ, οὐκ οἶδα πόθεν μαθὼν ψυχῆς καὶ ν. διαίρεσιν. ἡ δὲ τῶν...ἀποστόλων

διδασκαλία ψυχὴν λογικήν τε καὶ νοερὰν μετὰ σαρκὸς προσειλῆφθαι διδάσκει, καὶ τελείαν τοῖς πιστεύουσιν ὑπισχνεῖται τὴν σωτηρίαν Thdt. *ep.*104(4.1174); **f.** assumption of human *ν.* does not involve sin *ν.* καὶ λόγος λέγεται ὁ Χριστός. οὕτω δὲ ν. ἀνθρώπινον λέγω ἐν ᾧ ἦν ὁ λόγος, ὡς...εἴπομεν σῶμα ἀνθρώπινον τῇ φύσει, τῇ δὲ οἰκονομίᾳ θεοῦ. καὶ ὥσπερ ἡ σὰρξ αὐτοῦ οὐκ εἶδε διαφθοράν, οὕτως οὐδὲ ὁ ν. αὐτοῦ ἐποίησεν ἁμαρτίαν...ὁ ν. φύσει μὲν ἀνθρώπινος, τῇ δὲ ἑνώσει τῆς οἰκονομίας θεοῦ ν. ‡Ath.*dial.Trin.*4.2(M.28.1253A); v. ἁμαρτία; **g.** orthodox counter-argument from *ν.* being created κατ' εἰκόνα: τὸ οὖν κατ' εἰκόνα ἀνακαινίσαι βουλόμενος ὁ θεὸς λόγος, γέγονεν ἄνθρωπος. τί δὲ τὸ κατ' εἰκόνα, εἰ μὴ ὁ ν.; τὸ κρεῖττον οὖν παρείς, τὸ χεῖρον ἀνέλαβε; ν. γὰρ ἐν μεταιχμίῳ ἐστὶ θεοῦ καὶ σαρκός, τῆς μὲν ὡς σύνοικος, τοῦ θεοῦ δέ, ὡς εἰκών. ν. οὖν νοῒ μίγνυται, καὶ μεσιτεύει ὁ ν. θεοῦ καθαρότητι καὶ σαρκὸς παχύτητι Jo.D.*f.o.*3.18(M.94.1073A); **h.** ref. Apoll.'s exegesis of 1Cor.2:16 ν. Χριστοῦ τὴν θεότητα λέγοντες, οὐχ, ὅπερ ἡμεῖς, ὑπολαμβάνοντες, ὅτι οἱ τὸν ἑαυτῶν ν. καθήραντες μιμήσει τοῦ ν. ἐκείνου, ὅνπερ ἡμῶν ὁ σωτὴρ ἀνεδέξατο, καὶ πρὸς αὐτὸν ῥυθμίζοντες, ὡς ἐφικτόν, οὗτοι ν. Χριστοῦ ἔχειν λέγονται Gr.Naz.*ep.*102(M.37.197A); 1Cor.15:47 εἶτα κατασκευάζει τὸν ἄνθρωπον ἐκεῖνον τὸν ἄνωθεν ἥκοντα τὸν ν. μὴ ἔχειν, ἀλλὰ τὴν θεότητα τοῦ μονογενοῦς τὴν τοῦ ν. φύσιν ἀναπληρώσασαν, μέρος γενέσθαι τοῦ ἀνθρωπείου συγκράματος τὸ τριτημόριον, ψυχῆς τε καὶ σώματος κατὰ τὸ ἀνθρώπινον περὶ αὐτὸν ὄντων, ν. δὲ μὴ ὄντος, ἀλλὰ τὸν ἐκείνου τόπον τοῦ θεοῦ λόγου ἀναπληροῦντος *ib.*203(333A); **3.** other references to Apollinarian controversy φησὶν οὗτος, τὸν σαρκωθέντα τῇ ἀνθρωπίνῃ σαρκὶ Χριστὸν ἐν ἑαυτῷ θεόν, τὸ πνεῦμα, τουτέστι τὸν ν., ἔχειν Gr.Nyss.*Apoll.*9(M.45.1141B); *ib.*10(1141D); *ib.*40(1216Bf.); *ib.*56(1261Bf.); παρεκβάλλειν τὸν ν. ἀπὸ τῆς τοῦ Χριστοῦ ἐνσάρκου παρουσίας, καὶ λέγειν ὅτι σάρκα ἔλαβεν ὁ Χριστός...ν. δὲ οὐκ ἔλαβε τουτέστι τέλειον ἄνθρωπον Epiph. *haer.*77.1(p.416.18ff.; M.42.641B); οὐκ ἔστιν ὑπόστασις ὁ ν., ἀλλὰ κίνησις τῆς ἡμῶν πάσης ὑποστάσεως *ib.*77.24(p.437.6; 676B); id.*anc.*78(p.97.29; M.42.164B); Tim.CP *haer.*(M.86.40A); **4.** Christ's *ν.* symbolized by salt used in eucharist, ‡Jo.D.*azym.*proem.(M.95.388A).

H. as Gnost. aeon ταύτην [sc. Σιγήν] δὲ ὑποδεξαμένην τὸ σπέρμα τοῦτο [sc. of Βύθος] καὶ ἐγκύμονα γενομένην, ἀποκυῆσαι Ν., ὅμοιόν τε καὶ ἴσον τῷ προβαλόντι, καὶ μόνον χωροῦντα τὸ μέγεθος τοῦ Πατρός· τὸν δὲ Ν. τοῦτον καὶ Μονογενῆ καλοῦσι Iren.*haer.*1.1.1(M.7.445B); counterpart of Ἀλήθεια, *ib.*(448A); τὸν...Προπάτορα αὐτῶν γινώσκεσθαι μόνῳ λέγουσι τῷ ἐξ αὐτοῦ γεγονότι Μονογενεῖ, τουτέστι τῷ Νῷ...μόνος δὲ ὁ Ν. κατ' αὐτοὺς ἐτέρπετο θεωρῶν τὸν Πατέρα, καὶ τὸ μέγεθος τὸ ἀμέτρητον αὐτοῦ κατανοῶν ἠγάλλετο· καὶ διενοεῖτο καὶ τοῖς λοιποῖς αἰῶσιν ἀνακοινώσασθαι τὸ μέγεθος τοῦ Πατρός *ib.*1.2.1(452B); cf. *Nus enim est ipsum quod est principale, et summum, et velut principium, et fons universi sensus, ib.*2.13.1(742A); cf.*ib.*(742A,B); *Aeones a Logo, Logos autem a Nu, et Nus a Bytho, ib.*2.17.4(763A); refutation of Gnost. teaching that Logos, offspring of Nus, was blind, *ib.*2.17.9,10(766A,B); νόμος ἦν γενικὸς τοῦ παντὸς ὁ πρωτότοκος νόος *Ps.Naas.*ap.Hipp.*haer.*5.10(p.102.23; M.16.3159A); *ib.*5.19(p.120.19; 3183C).

II. *sense, meaning* of scripture, esp. of non-literal sense ἐν τοῖς ὑμετέροις [sc. of Jews] ἀπόκειται γράμμασι...ὑμεῖς δὲ ἀναγινώσκοντες οὐ νοεῖτε τὸν ἐν αὐτοῖς ν. Just.*dial.*29.2(M.6.537B); μὴ σαρκίνων ἀκροᾶσθαι τῶν λεγομένων, ἀλλὰ τὸν ἐν αὐτοῖς κεκρυμμένον ν. μετὰ τῆς ἀξίας ζητήσεως καὶ συνέσεως ἐρευνᾶν Clem.*q.d.s.*5(p.163.19; M.9.609C); opp. λέξις, id.*str.*7.1(p.3.20; M.9.404B); ὁ ν. γε τοῦ προφητικοῦ ...πνεύματος ἐπικεκρυμμένως λαλούμενος διὰ τὸ μὴ πάντων εἶναι τὴν συνειῖσαν ἀκοήν,...ἀσφαλῶς γὰρ ἐγνώκεσαν τὸν ν. ἐκεῖνον οἱ προφῆται *ib.*1.9(p.30.2,6; M.8.741B); ἐχρήσατο ἀποκρύπτων ἀπὸ τῶν πολλῶν τὸν βαθύτερον ν. Or.*princ.*4.2.9(p.321.15; M.11.376A); ὁ ἀκριβὴς ν., ἅτε ν. ὢν Χριστοῦ *ib.*4.2.3(p.310.9; 361B); εὑρήσεις τινὰ ἄξιον ν. βάθους προφητικοῦ id.*hom.14.16 in Jer.*(p.122.10; M.13.424D); λέγεσθαι τῇ γραφῇ τὸν ἐν αὐτῇ τοῦ ἁγίου πνεύματος ν. id.*Jo.*10.43(27; p.221.24; M.14.392C); μυστικὸς ν. *ib.*1.15(p.19.34; 49B); of sense of a passage dist. from actual words ἔν τισι τὸν ν. μόνον, ἔν τισι δὲ καὶ ῥήματα σὺν τῷ ν. κρατῶ Gr.Mag.*dial.*(tr.Zach.)1 proem.(M.*PL.*77.154B).

III. phrases: ἐν νῷ ἔχω *have in mind*, Clem.*paed.*3.11(p.267.1; M.8.628A); ἐν νῷ or εἰς νοῦν λαμβάνω *pay attention to, think about* οὐδὲ ἐκεῖνο ἐν νῷ λαβόντες τὸ Μωυσέως Clem.*paed.*3.3(p.249.21; M.8.585B); id.*str.*2.8(p.132.7; M.8.972B); κατενόουν τὰ ὑπὸ τοῦ ἐπισκόπου ...γινόμενα, εἰς ν. τε ἔλαβον καὶ παρ' ἐμαυτῷ ἐταμιευόμην Epiph.*haer.*30.6(p.341.2; M.41.413C); *ib.*31.2(p.384.14; 476A); Chrys.*hom.15.3 in 1Tim.*(11.638F); id.*hom.43.4 in Mt.*(7.464E); λαμβάνω κατὰ νοῦν *recall to memory*, id.*carit.*4(6.292A); Gel.Cyz.*h.e.*2.22.15(M.85.1293A); εἰς ν. βάλλω *lay to heart*, Chrys.*hom.3.5 in Mt.*(7.41A).

***νουσαλέος**, **1.** *sick*, Nonn.*par.Jo.*5:9(M.43.785B); *ib.*6:26(797B); Paul.Sil.*Soph.*799(M.86.2149B); **2.** *pertaining to disease*, Nonn.*par. Jo.*11:2(810A); *ib.*11:16(810B).

***νυγματίζομαι**, *be stung, roused*, Gel.Cyz.*h.e.*2.17.6(M.85.1265D).

***νυκταγεῖς**, **οἱ**, *heretics who repudiate night vigils*, cf. *nyctages a somno nuncupati, quod vigilias noctis respuant, superstitionem esse dicentes jura temerari divina, qui noctem ad requiem tribuit*, Isid.H.*etym.*8.5.62 (? l. *nystages* (cf. νυστάζω), i.e. *sleepy-heads*, as nickname).

***νυκταυγία**, **ἡ**, *twilight*, Thdr.Stud.*epp.*1.37(M.99.1040A).

νυκτέπαρχος, **ὁ**, *praefectus vigilum, chief of the watch*, Pall. *v.Chrys.*16(p.97.10; M.47.55); Jo.Mal.*chron.*16 p.396(M.97.588A); *Chron.Pasch.*p.321(M.92.821A).

νυκτερεία, **ἡ**, *darkness* Ζαβουλὼν μὲν ῥῦσις νυκτερείας ἑρμηνευόμενος, σημαίνει τοὺς ἀπὸ Ἰσραὴλ πιστεύσαντας· οὐ ἡ νὺξ πρὸ Χριστοῦ ῥεύσασα Thdt.*Is.*9:2(2.232).

***νυκτερικῶς**, *by night*, *Lit.Gr.Naz.*(M.36.729A).

***νυκτερινῶς**, = foreg., ‡Epiph.*hom.*3(M.43.469A).

νυκτερόβιος, *of nocturnal habits*; of species of birds, Bas.*hex.*8.7 (1.77B; M.29.181A).

[*]**νυκτεροφοῖτις**, *roaming by night*; of Hecate, *Hymn.*ap.Hipp. *haer.*4.35(p.62.2; M.16.3102A).

***νυκτιαῖος**, *nightly*, ‡Caes.Naz.*dial.*118(M.38.1005A).

νυκτικόραξ, **ὁ**, *long-eared owl*; of Devil, Nil.*Eulog.*2(M.79.1096C).

νυκτιλόχος, *lying in wait by night*; of robbers, Nonn.*par.Jo.*19:18(M.43.901B); *ib.*19:32(905A); of Satan, Germ.CP *or.*1(M.98.228C).

***νυκτίπερ**, *by night*, ‡Paul.Sil.*therm.Pyth.*50(M.86.2264).

νυκτιφανής, **1.** *shining by night*; of a star, Nonn.*par.Jo.*20:1(M.43.908B); **2.** *appearing by night*; of Nicodemus, *ib.*3:2(765B).

***νυκτίχρους**, *of the colour of night*, Nil.*epp.*3.129(M.79.444C).

***νυκτίωρος**, *nocturnal*, Thdr.Stud.*or.*11.36(M.99.840B).

***νυκτοειδῶς**, *like night*, Thdr.Stud.*epp.*2.21(M.99.1181C).

***νυκτοκλοπία**, **ἡ**, *theft by night*, *Orac.Sib.*3.238; *ib.*3.380.

***νυκτόναρ**, **τό**, *dream by night*; met., Thdr.Stud.*iamb.*21(M.99.1788C).

***νυκτοπόρος**, *moving by night*, Chrys.*hom.in Ps.115:1–3*(p.357.7).

***νυκτοτριήμερος**, *of three days and nights* ν. ταφῇ Bas.Sel.*pasch.*1.3(M.28.1076D).

νυκτοφαής, *shining by night*, Ophites ap.Or.*Cels.*6.31(p.101.14; M.11.1344A).

***νυκτόχρους**, *of the colour of night*, Hipp.*haer.*5.14(p.109.8; M.16.3167C).

νυμφαγωγέω, *lead* a bride to the bridegroom's house; met., ref. virgin souls being espoused to Christ, Meth.*symp.*6.2(p.65.16; M.18.116A); *ib.*8.5(p.87.17; 145D); *ib.*10.6(p.129.6; 204B); ref. a bishop being 'espoused' to his see, Gr.Naz.*or.*36.6(M.36.273A).

νυμφαγωγία, **ἡ**, *leading of the bride to the bridegroom's house, bridal procession*; met.; **1.** of marriage between God or Christ and Church δείκνυσιν, ἡ ν. πῶς γίνεται, ὅτι διὰ φωνῆς καὶ διδασκαλίας. οὕτω γὰρ καὶ ἡ ἐκκλησία ἁρμόζεται τῷ θεῷ Chrys.*hom.29.3 in Jo.*(8.168B); id.*exp.in Ps.*5:1(5.31D); **2.** ref. candidates for baptism νυμφαγωγίας λαμπάδες Cyr.H.*procatech.*1; **3.** of espousals of virgin souls μυστικὴ ν. †Bas.Anc.*virg.*50(M.30.769C); τῆς πρὸς αὐτὴν [sc. Thecla] ν. τὸν δεσπότην Χριστὸν ἐξ οὐρανοῦ δεξιὰν δεδωκότα ‡Chrys. *Thecl.*(2.749E).

***νυμφαγωγικός**, *bridal*, Thdr.Stud.*epp.*2.132(M.99.1425C).

νυμφαγωγός, **ὁ, ἡ**, *leader of the bride*; **1.** of God, ref. Adam and Eve, Bas.Sel.*or.*29.1(M.85.328B); **2.** of angels, ref. virgins, †Bas. Anc.*virg.*29(M.30.729A); of apostles, ref. Church or ref. individual souls whom they lead to Christ, the spouse, Cyr.*Ps.*44:11(M.69.1041C); of S. Paul, Chrys.*exp.in Ps.*5:1(5.31A); partic. ref. virgins, ‡Chrys.*hom.*10(13.239C); of S. Philip, *A.Phil.*97(p.37.36); of Jo. Bapt., Gr.Naz.*or.*45.26(M.36.660A); Cyr.*Jo.*2.1(4.159C); of priests leading virgins to Christ, †Bas.Anc.*virg.*37(M.30.744B); of scripture and theology leading to Christ, *ib.*50(769A); τὴν ἀρετὴν πορευθῶμεν...τὴν τῷ θεῷ λόγῳ...τὴν λογικὴν ψυχὴν...πρὸς κοινωνίαν ἁρμοσαμένην ἀχώριστον, ἵνα καὶ παρὰ ἀνθρώποις...τοὺς θεοειδεῖς φθόγγους ἡ ν. [sc. theology] ἐναρμόσῃ Diad.*perf.*67(p.82.16); of Devil τῆς μοιχείας ν. ὁ διάβολος Gr.Nyss.*hom.in 1Cor.6:18*(M.46.496A); Bas.Sel.*or.*8(M.85.124A).

νύμφευσις, **ἡ**, *marriage, espousal*; **1.** lit., †Bas.Anc.*virg.*50(M.30.769C); **2.** met.; **a.** of marriage between Christ and Church ἡμέραι δὲ νυμφεύσεως αὐτοῦ αἱ τρεῖς εἰσι τοῦ πάθους· τότε γὰρ τὴν ἁγίαν ταύτην ἐκκλησίαν ἐνυμφεύσατο Ph.Carp.*Cant.*90(M.40.88A); Vict.*Mc.*2:18ff.(p.290.22); **b.** of spiritual marriage between Christ and

virgins, †Bas.Anc.*virg.*37(M.30.745B); ‡Gr.Nyss.*hom.10.36 in Jo.*(p.306.5); Thdr.Stud.*epp.*2.150(M.99.1468B).

νυμφευτήριον, τό, *bridal chamber,* Bas.Sel.*v.Thecl.*2.10(M.85.581A).

νυμφευτής, ὁ, *groomsman;* met., of God becoming ν. to Adam after having created Eve, Thdt.*haer.*5.25(4.464).

νυμφεύτρια, ἡ, **1.** *she who escorts the bride* (to her husband), *bridesmaid,* exeg. 1Cor.7:4f. *δόξει νυμφευτρίας εἶναι μᾶλλον ἢ ἀποστόλου τὰ ῥήματα* Chrys.*virg.*29(1.289B); id.*hom.20.8 in Eph.*(11.155A); id.*hom.5.3 in 1Thess.*(11.462F); **2.** *bride,* Synes.*ep.*3(M.66.1324B).

νυμφεύ-ω, *marry, espouse;* **1.** of Christ espousing Church; through baptism, Ammon.*Jo.*3:29(M.85.1413C); through Passion *τὴν ἡμέραν τοῦ πάθους...καθ' ἣν ἐνυμφεύσατο τὴν ἐκκλησίαν διὰ τοῦ αἵματος αὐτοῦ* Cyr.*fr.Cant.*3:11(M.69.1288B); *ἀνδρωθεὶς Χριστὸς...τὴν...ἐκκλησίαν ἐνυμφεύσατο, ὑπὲρ ἧς καὶ τὸ τίμιον αἷμα ἐξέχεε* Mod.*dorm.*3(M.86.3288B); Andr.Caes.*Apoc.*67(M.106.429B); **2.** of mankind being espoused to Christ *μαθηταί, τὴν ~ομένην ἀνθρωπότητα τῷ Χριστῷ πρὸς αὐτὸν ἰοῦσαν ὁρῶντες* Cyr.*Jo.*2.1(4.159D); med., of Christ *ἐν ᾗ* [sc. BMV] *ὁ λόγος ἐνυμφεύσατο τὴν σάρκα* Procl.CP *or. laud.BMV* 1(p.103.14; M.65.681A); **3.** of virgins espoused to Christ *~ομαι τῷ λόγῳ καὶ τὸν ἀΐδιον τῆς ἀφθαρσίας προῖκα λαμβάνω στέφανον* Meth.*symp.*6.5(p.69.17; M.18.120C); *ἡ δὲ τῷ κυρίῳ ~ομένη, οὐ δυναμένη οὔτε τὴν ὄψιν, οὔτε τὴν ἀκοήν, οὔτε τὴν παρουσίαν φυγεῖν, ἐν ὄψει αὐτοῦ ἅπαντα πράττει* †Bas.Anc.*virg.*27(M.30.725C); *τὴν Χριστῷ διὰ τῆς κατὰ τὴν παρθενίαν ὑποσχέσεως ἁρμοσθεῖσαν, ὡς ἂν σοφίᾳ καὶ λόγῳ ἑαυτὴν διὰ βίου ~ουσαν* *ib.*50(768D); **4.** souls espoused through ecstasy of Christ on Cross, Meth.*symp.*3.8(p.36.19; M.18.73D) cit. s. *ἔκστασις;* apostles *εὑρίσκεις ἐκείνους παρανύμφους, ~οντας ψυχὰς Χριστῷ* Mac.Aeg.*hom.*28.6(M.34.713D); fruit in good works, Clem.*str.*3.12(p.235.2; M.8.1185B); espousal perfected after death, Ammon.*Jo.*3:29(M.85.1416A).

νύμφη, ἡ, *bride;*

